SCRIPTORES GRAECI ET LATINI
CONSILIO ACADEMIAE LYNCEORVM EDITI

# THEOCRITVS

## QVIQVE FERVNTVR BVCOLICI GRAECI

CAROLVS GALLAVOTTI
RECENSVIT

ROMAE
TYPIS OFFICINAE POLYGRAPHICAE
CIϽ IϽ CCCC XXXXVI

# I

## ΘΕΟΚΡΙΤΟΥ

## ΘΥΡΣΙΣ Η ΩΙΔΗ

(Θύρ.) Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τύ
συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
αἴ κα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
αἴ κα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ
ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.
(Αἰπ.) ἅδιον, ὦ ποιμήν, τὸ τεὸν μέλος ἢ τὸ καταχές
τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
αἴ κα ταὶ Μοῖσαι τὰν οἴιδα δῶρον ἄγωνται,
ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄιν ὕστερον ἀξῇ.
(Θύρ.) λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς αἰπόλε τῇδε καθίξας,
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι,
συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

Codd: K, La (= PQW), Va (= AGS).

Papp: Pa (1-3, 48-50, 59-65, 100-105, 125-141, 150-152), Pe (14-19, 27-32, 46-52, 59-65), Po (132-151).

Tit: Θύρσις ἢ Ὠιδή Va, personam tantum vel personas indicant K La.

---

**6** κρῆς Codd, κρέας Heinsius, cf. V 140 (ubi κρέας habet etiam Pu) • **7** (et **15**) ποιμὰν Codd, corr. Ahr • **9** Μῶσαι La, cf. v. 20 • **10** τὺ La Va, σὺ K • **11** ἀξῆς (-εῖς) Codd, at ἀξεῖ G, ἀξῇ S corr. (ut Valck) • **13** ὡς KPQ, ἐς Va (et W), cf. V 101 | ᾇτε Codd, corr. Heinsius, ut est in quodam recentiore libro (libri R apographo) • **14** (et **16**) τυρίσδεν AS.

---

Testim: **5** cf. XL 55, et Apollon. *De pron.* 106 εἰς τὲ καταρρεῖ, Θεόκριτος • **13** = V 101 • **14** cf. Verg. *Ecl.* V 12 *pascentes servabit Tityrus haedos,* unde pro νομευσῶ voluit δοκευσῶ Mein, cf. XXI 42.

(Αἰπ.) οὐ θέμις ὦ ποιμὴν τὸ μεσαμβρινόν, οὐ θέμις ἄμμιν
συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται· ἔντι γε πικρός,
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
ἀλλὰ τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγε' ἀείδες,
καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μοίσας,
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα τῶ τε Πριήπω
καὶ τᾶν Κρανίδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς
ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾄσας ἐρίσδων,
αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέι κηρῷ,
ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός,
κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτόν
καρπῷ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.

**15** ἄμμιν Codd, ὁμῖν K$^{2}$, ἆμιν Ahr, cf. ad VII 2, 135 et Proleg. p. XLVIII • **17** κεκμηκὼς K (P) | ἐντὶ Codd, cf. Stob. et Proleg. p. LIII | γε K La, δὲ Va (et Stob.) • **19** δὴ KA, ποτε S, om. G La | ἀείδες Pe Codd (tamen ἄειδε PS$^{b}$) praesentis formam ut συρίσδες in v. 3 • **20** cum inter βουκολ. et βωκολ., inter μοίσας et μώσας incerti sint plerumque Codd, scripturam ubique statuit Ahr, cf. etiam 64 sqq. • **21** Πριήπω Codd, cf. 81 et XXXIV 3, 3 et 4, 13 • **22** τᾶν KQ, τῶν Cett • **23** ποιμενικὸς KQW, πωμεν. Va (P) • **24** ὅκα K, ποκα La Va • **25** τε La, δὲ K Va (νυ S) • **26** ποταμέλγεται K, -μέλξεται La Va • **27** καρῷ Codd, κηρῷ E, cf. 129 • **29** περὶ La, ποτὶ K Va • **30** κεκονισμένος K Va Q, -νιμένος PW.

TESTIM: **17** Stob. *Flor.* III 20, 23 ἔστι δὲ πικρός (et 15 ποιμήν, ἁμῖν, 16 συρίσδειν, 18 ῥῖνα); quem Theocriti locum in uno Stobaei codice servatum esse scito • **30** locum incertum, quamquam non alium Verg. *Ecl.* III 39 et Nonn. *Dion.* XIX 128 legerunt, varieque temptatum explicavit Lattius coll. Hesych. διάκονις· ἐπὶ ὑφῆς ἱματίου ἀνωμάλου, ὅ φαμεν κονίζειν; cf. etiam κεκονισμένος· συμπεπλεγμένος Σ (KP).





ἔντοσθεν δὲ γυνά τι θεῶν δαίδαλμα τέτυκται
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι, πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι. τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
ἀλλ' ὅκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γέλαισα,
ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον· οἳ δ' ὑπ' ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τοῖς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν,
ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος. ἀμφὶ δέ μιν δύ' ἀλώπεκες ἃ μὲν ἀν' ὄρχως
φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ' ἐπὶ πήρᾳ
πάντα δόλον τεύχοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.

**36** ἄλλοκα Codd, ἀλλ' ὀκὰ Schaeferus, cf. IV 17 | γελᾶσα PQ$^{2}$, γελεῦσα QW, γελοῖσα K Va (-ῶσα S$^{1}$), γέλαισα Wil • **41** τὸ καρτερὸν La Va, τῷ καρτερῷ KA$^{1}$G$^{1}$ • **42** κεν Codd, κα Ahr • **44** ἅβας Codd (ἥβας S) • **47** κῶρος K La, κοῦρος Va • **48** μιν Pa Codd, νιν Zieg • **49** φοιτᾷ Codd (φοιτῇ PS corr.) | πήρᾳ K Va P, πήραν QW • **50** τεύχοισα Codd, τευχουσα Pa, κεύθοισα Σ$^{2}$ | ἀνάσσειν K • **51** ἀκράτιστον Codd, ἀκρᾱτισμὸν ex Σ ut videtur scripsit Wil (quamquam in I 12 et V 33 καθίζειν intransitive adhibetur), ἀκρατισμῷ Fritz ('priusquam ille, scil. puer, ad siccum ientaculum consederit'), ἀκᾰτίσκον ex ἄκατος fictum Blumenthalius.

TESTIM: **42** ad ionicum colorem in φαίης κεν (non κα) servandum cf. XII 13 et Hom. Γ 220, 392, Ο 697, γ 124 • **46** πυρναίαις ταῖς περκαζούσαις ἢ τρωξίμοις Σ, sed de Carica urbe cogit. Wil • **50** γράφεται κεύθοισα, ἀντὶ τοῦ κρύπτουσα Σ, cf. Tryphiod. 221 δόλον καὶ πήματα κεύθων • **51** πρινὴ ἀκρατισμοῦ ξηρὸν ποιήσει αὐτόν· ἀκρατισμὸν δέ φησι τὸν ἀπὸ βρώσεων

αὐτὰρ ὅγ' ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
αἰολίχον θάημα. τέρας κέ τυ θυμὸν ἀτύξαι.
τῶ μὲν ἐγὼ πορθμῆι Καλυδνίῳ αἶγά τ' ἔδωκα
ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος.
οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
ἄχραντον. τῷ κά τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴ κά μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔτι τυ κερτομέω. πόταγ' ὠγαθέ, τὰν γὰρ ἀοιδάν
οὔ τί πᾳ εἰς Ἅιδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

**52** ἀνθερίκοισι K, ἀνθερίκεσσι La Va | ἀκριδοθήραν K Va P, -θήκαν QW • **53** μέλ(λ)ει PQ$^1$ • **56** αἰπολικὸν Codd, αἰολικὸν Σ$^2$, corr. Ahr | τι θάημα K Va, τι θάυμα La, corr. Porsonus • **57** τοῦ omnes fere Codd, τῶ H | πορθμεῖ Codd (-ῆ K), πορθμῆι cogit. Ahr | Καλυδωνίῳ Codd, Καλυδνίῳ Σ$^2$, Καυλωνίῳ Ahr$^1$ • **60** κέν τοι La, καί τοι Va, καί τυ K, corr. Ahr • **61** αἴ κε(ν) Codd, αἴκα Ahr e recentiore libro • **62** κούτι τοι K La, om. τοι Va, corr. Bon | κερτομέω K Va, φθονέω La Va$^2$ • **63** πᾳ K La, πω Va | Ἀίδαν Codd (-α WV), Ἅιδαν scr. Gall, cf. 130 et II 28.

κόρον Σ (ita vocabuli ἀκρατισμός, quod apud Athen. I 11*d* invenitur, aliquem casum ab Σ lectum esse primus intellexit Hartungius); οἱ μέλλοντες πολεμεῖν ... ὀλίγον τινὰ ἥσθιον ἄρτον καὶ ἄρκατον οἶνον ἔπινον, ... ὃ καὶ ἀκρατισμὸν ἐκάλουν· ἐνταῦθα δὲ ἀκράτιστον ἀντὶ τοῦ ἄγευστον Σ (Va), sed collatis vocibus δειπνιστὸς et δορπιστὸς pro substantivo vocabulum ἀκράτιστος vel ἀκρατιστὸς habuit Ahr • **52** Eustath. 1206, 7 ἀνθέρικος δὲ ὁ τῆς ἀσφοδέλου καρπὸς ἢ καυλός, ἡ δὲ χρῆσις καὶ παρὰ Θεοκρίτῳ | Long. *Past.* I 10 ἡ μὲν ἀνθερίκους ἀνελομένη ποθὲν ἐξ ἕλους ἀκριδοθήκην (ita liber A, ἀκριδοθήραν liber B) ἔπλεκε • **56** αἰ[π]ολικόν· ἀπατητικόν... Αἰολίζειν γὰρ τὸ ἀπατᾶν· ἢ Αἰολικὸν τὸ Αἰτωλικόν, Αἰολεῖς γὰρ οἱ Αἰτωλοί, ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι· ἢ ⟨αἰπολικόν·⟩ οἷον αἰπόλος ἂν θαυμάσαι Σ, deinde αἰ[π]ολικὸν θάημα· αἰόλον τι καὶ ποικίλον θέαμα Σ, cf. Hesych. Αἰολικὸν θέαμα· ἀντὶ τοῦ Αἰτωλικὸν παρὰ Θεοκρίτῳ, ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο, et Alphaeum *Anth.* XI 5 αἰπολικὸν μήνυμα, Auson. *Epist.* 14, 33 ῥητορικὸν θάημα • **57** τινὲς δὲ γράφουσι Καλυδνίῳ ἀγνοοῦντες ὡς αἱ Καλυδναὶ ἐγγὺς τῆς Κῶ εἰσιν Σ (K), cf. Callim. fr. 226 εἰμὶ τέρας Καλυδῶνος, ἔχω δ' Αἰτωλὸν Ἄρηα • **58** Sophr. fr. 14 Oliv. τυρῶντα.





(Θύρ.) Ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς·
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἀδέα φωνά.
πῆ ποκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο, πῆ ποκα Νύμφαι;
ἦ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἶχετ' Ἀνάπω,
οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὡκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δὲ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δέ· « Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὠγαθέ, τόσσον ἔρασαι; »
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον,
πάντες ἀνηρώτευν, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος
κἦφα· « Δάφνι τάλαν, τί νυ τάκεαι; ἁ δέ τυ κώρα
πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς,

**64** sqq. βωκολικᾶς Μῶσαι plerumque La Va, βουκολικᾶς ubique et Μοῖσαι saepe K • **65** ὡξ Codd (sed ἐξ Q ut Mo) | ἀδέα Codd, ἅδε ἁ P$^1$ Q$^2$ W • **66** ἦθ' A$^2$ SQ | πᾶ pro altero πῆ K • **71** ὠρύσαντο La Va, ὠδύραντο K (et G$^2$) • **72** ἔκλαυσε K G$^1$ QW, ἂν ἔκλαυσε Va P • **74** πὰρ K La, παρὰ Va P • **75** δὲ Codd (om. Q, δ' αὖ S corr.) • **77** Ἑρμῆς K | ὤρεος La, οὔρεος K Va • **78** ἔρασσαι QW • **80** βοῦται τοὶ K La (quamquam χ' οἱ W), τοὶ om. Va (καὶ β. S) • **81** Πρίαπος K La, Πρίηπος Va, cf. 21 • **82** τί νυ La, τί τὺ K Va | δέ τι La, δέ τοι K Va (quamquam δέ γε S), δὲ τὲ R, δέ τυ Fritz • **83** πάσας ἀνὰ κράνας La, πάσαν ἀνὰ κράναν K Va (P$^2$).

Testim: **71** Quint. Smyrn. XII 518 ἐν δὲ λύκοι καὶ θῶες ἀναιδέες ὠρύσαντο.

ζάτεισ᾽· ἃ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
βούτας μὰν ἐλέγευ, νῦν δ᾽ αἰπόλῳ ἀνδρὶ ἔοικας.
ᾡπόλος ὅκκ᾽ ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται,
τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο,
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς·
καὶ τὺ δ᾽ ἐπεί κ᾽ ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι,
τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις ».
τὼς δ᾽ οὐδὲν ποτελέξαθ᾽ ὁ βουκόλος, ἀλλὰ τὸν αὑτῶ
ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λάθρη μὲν γελάοισα, βαρὺν δ᾽ ἀνὰ θυμὸν ἔχοισα,
κεἶπε· « τύ θην τὸν Ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
ἦ ῥ᾽ οὐκ αὐτὸς Ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης; »
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
τὰν δ᾽ ἄρα χὠ Δάφνις ποταμείβετο· « Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής,
ἤδη γὰρ φράσδῃ πάνθ᾽ ἅλιον ἄμμι δεδύκειν;

**85** ζάτεισα K, ζατοῖσ(α) La Va • **86** μὲν Codd, μὰν R • **87** μηκάδας La Va, μακάδας K | βατεῦνται K La, βατεῦντι Va • **90** γελᾶντι KQ, γελεῦντι Va, γελῶντι S corr. PW • **91** τῇσι La • **92** βωκόλος Codd (βουκ. A), cf. 105 • **94** πάλιν habent Codd inconstanter (cf. et 104 Pa) iam a v. 73, sed confer Σ • **97** κεἶπε τὺ K Va, κῆφα τι La | λυγιξεῖν La Va, λυγίζειν K • **98** ἦ ρ᾽ KQ, ἆρ᾽ Cett | ἀργαλέω La, -λέου K Va • **100** ποταμείβετο Pa Codd (praeter -είψατο AQ) • **101** θνητοισιν Pa (et ES) • **102** φράσδει Codd (φράσδῃ ut glossam $K^2$ $G^2$) | πα]ντ᾽ Pa, cf. Σ et II 41 | ἅλιον Pa $K^1$, ἅλιος Kcorr. La Va | ἄμμε Pa.

Testim: **85** Αἰολικὸν τὸ ζάτεισα (K, ζατοῖσα Cett), διὸ καὶ βαρύνεται Σ, cf. Cyrill. in An. Paris. IV 183, 6 ζητῶ, Θεόκριτος δὲ ζατεῖς; cf. denique II 88 ἔρρεντο et X 56 μοχθέντας Pa contra Codd • **94** non uno eodemque sed variato commentationis loco (τὸ) πάλιν (ἐξ ὑποστροφῆς) ἀρχὴν (ᾠδῆς) ποιούμενός φησιν, αἱ δὲ παράγραφοι διαστέλλουσι τὰς ᾠδὰς Σ (ad v. 94 K, ad v. 84 Cett) • **102** de παντ᾽ in Pa scripto cf. ad I 1 ἁδύ· οἱ Δωριεῖς τρέπουσι τὸ ῆ τὸ δασὺ εἰς ᾶ ψιλὸν ὑπεξαιρουμένων τῶν ἄρθρων Σ.





Δάφνις κὴν Ἀΐδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
οὐ λέγεται τὰν Κύπριν ὁ βουκόλος; ἕρπε ποτ᾽ Ἴδαν·
[ἕρπε ποτ᾽ Ἀγχίσαν. τηνεὶ δρύες, ὧδε κύπειρος,]
ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει
καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
καὶ λέγε· τὸν βούταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ᾽· ὁ βουκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
οὐκέτ᾽ ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ᾽ Ἀρέθοισα,
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θύβριδος ὕδωρ.

**103** κεἰν Codd, tamen κὴν W ut Mo | Ἔρωτι $KG^1PW$, Ἔρωτος Va Q • **104** μουσαι φιλαι Pa • **105** οὖ Codd, οὐ Graefius | βουκόλος K Va, βωκόλος La • **106** secl. Valck | Ἀγχίσην K | κύπειρος K Va P, κύπειρον QW $G^1$ $S^1$ (et EN), nullius momenti v. l. ex rei palaeographicae ratione ut ἅλιος et ἅλιον in v. 102 • **108** om. Codd praeter S (et $A^2$ $G^2$) • **109** μᾶλα Codd, μῆλα Ahr • **110** πάντα KA S($Q^2$), τἄλλα La (et G) • **112** αὖτις K La (G), αὖθις AS • **113** βώταν Codd (βούτ. P), cf. 80 et 86 | μάχευμαι GP, μάχευ με Q corr. • **114** post **115** La • **116** βουκόλος K, βωκ. fere Cett | ὑμῖν K, ὔμμιν La Va • **118** Θύβριδος PQ (et N) secundum Theaetetum ($\Sigma^1$), Θύμβριδος Va (et W), δύβριδος K secundum Asclepiadem ($\Sigma^2$).

Testim: **106** cf. Plut. *Quaest. nat.* 36 ex Gyberti Longolii interpretatione: *iocose Venus ad Anchisen a pastore ablegatur, uti apum aculeis propter adulterium commissum pungatur: te confer ad Idam, confer ad Anchisen, ubi quercus atque cypirus crescit, apum strepitatque domus melliflua bombis*; ita ἧδε κύπειρος, αἱ δὲ καλὸν (quae perperam in textum recepit Wil) vitiose a Plutarcho scripta esse suspicatus est Mein • **106-107** cf. V 45-46 • **110** cf. V 107 • **118** Eustath. *ad Dion.* 350 (Θύμβρις) παρὰ τῷ Θεοκρίτῳ φαίνεται ἔν τινι ἀμφιβαλλομένῃ γραφῇ, et Serv. *ad Aen.* III 500 *circa Syracusas autem esse fossam Thibrin nomine Theocritus meminit.*

ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ὦ Πὰν Πάν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύ γ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπε ῥίον αἰπύ τε σᾶμα
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγητόν.
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.
ἔνθ᾽ ὦναξ καὶ τάνδε φέρ᾽ εὐπάκτοιο μελίπνουν
ἐκ κηρῶ σύριγγα καλὰν περὶ χεῖλος ἑλικτάν.
ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς Ἅιδαν ἕλκομαι ἤδη.
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.
νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι,
ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι.
πάντα δ᾽ ἄναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὰς κύνας ὥλαφος ἕλκοι,
κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόνι γαρύσαιντο ».
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.
χὢ μὲν τόσσ᾽ εἰπὼν ἀνεπαύσατο· τὸν δ᾽ Ἀφροδίτα

cυ Codd, sed Λυκαίω **PS** • **126** ἀγητὸν **K Va**, ἀγατὸν **La** • **128** φέρ᾽ εὐπάκτοιο **Codd**, φέρευ π. $\Sigma^2$ • **130** Ἅιδαν **Codd** (Ἄϊδος **S** corr.) • **132** νῦν ἴα **Po La**, νῦν δ᾽ ἴα **K Va** • **133** ἐπ᾽ **Pa K Va P**, ὑπ᾽ **QW**$^1$ • **134** ἄναλλα **Po La**, ἔναλλα **K Va Q**$^2$ | γένοιτο **Pa Codd** (-οιντο **Q**) • **135** τὰς **Po W** (et **V**), τὼς **Codd** (τοὺς **A**) | ἔλαφος **Va** • **136** κἠξ **Po K La**, κἀξ **Va** (**Q**$^1$) | αηδονι **Po**, ἀηδόσι **Codd** • **137** βουκολικα[ς] μου[σαι **Po** • **138** ἀνεπαύσατο **Po QW**$^2$, ἀπεπαύσατο **K Va PW**$^1$.

---

Testim: **125** Schol. ad Apollon. *Arg.* I 1165 μέγα τ᾽ ἠρίον· γράφεται καὶ μέγα τε ῥίον; ita λίπ᾽ ἠρίον con. Bosius • **134** Anth. V 299 πάντα δ᾽ ἔναλλα γένοντο • **136** Anth. IX 380 τολμῷεν δ᾽ ἐρίσαι σκῶπες ἀηδονίσιν metri causa necessario, ed cf. V 136 ποτ᾽ ἀηδόνα κίσσας ἐρίσδεν; hinc partim pendet Verg. *Ecl.* VIII 55 *certent et cycnis ululae,* itaque perperam δηρίσαιντο con. Scaliger (nunc γα[ρύσαιντο Po quoque); contra κἠξ ὀρθῶν pro κἠξ ὀρέων scr. Ahr.





ἤθελ᾽ ἀνορθῶσαι. τά γε μὰν λίνα πάντα λελοίπει
ἐκ Μοιρᾶν, χὠ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.

καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
χαίρετ᾽· ἐγὼ δ᾽ ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.
(Αἰπ.) πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
πλῆρες δὲ σχαδόνων, καὶ ἀπ᾽ Αἰγίλω ἰσχάδα τρώγοις
ἁδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.
ἠνίδε τοι τὸ δέπας· θᾶσαι φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκησεῖς.
ὧδ᾽ ἴθι Κισσαίθα, τὺ δ᾽ ἄμελγέ νιν. αἱ δὲ χίμαιραι
οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

**139** μὰν **Po La**, μὴν **K Va** • **141** Μουσαις **Po** | ἀπεχθῆ **Codd** (ἐπαχθῆ **GP**, ἀπαχθῆ **Q**$^2$) • **142** βουκολικας **Po** • **143** κεν **KSA**, μιν **QW**, νιν **GP** • **144** Μουσα[ις **Po** • **145** υμι[ν **Po**, ὔμμιν **Codd** • **147** δὲ **Po La**, τοι **K Va** • **148** τύγα **KQ**, τύγε **Cett** • **150** δοκησεῖς **Pa**, δοκασεῖς **Codd** • **151** Κισσῆθα **K** (**E**$^2$ **V**$^2$) | χίμαραι **S**$^1$ **W(V)**, χίμαροι **Q(N)** • **152** σχιρτασῆτε **Codd** (–άσητε **H** ut **Mo**), corr. Porsonus | ὔμμιν **Pa Codd**.

# II

## ΘΕΟΚΡΙΤΟΥ
## ΦΑΡΜΑΚΕΥΤΡΙΑΙ

Πᾷ μοι ταὶ δάφναι; φέρε Θεστυλί· πᾷ δὲ τὰ φίλτρα;
στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
ὡς τὸν ἐμὶν βαρὺν εὔντα φίλον καταδήσομαι ἄνδρα,
ὅς μοι δωδεκαταῖος ἀφ' ὦ, τάλαν, οὐδὲ ποθίκει
οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές
οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἄλλᾳ
ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἅ τ' Ἀφροδίτα.
βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
αὔριον, ὥς νιν ἴδω, καὶ μέμψομαι οἷά με ποιεῖ.
νῦν δέ μιν ἐκ θυέων καταδήσομαι. ἀλλὰ Σελάνα
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἅσυχα, δαῖμον,

Codd: K, W, Va (= ANS).
Pap: Pa (fere integra).
Tit: Φαρμακεύτρια Pa NGP (et Serv. *ad Verg. Ecl.* VIII 1, 21), Φαρμακεύτριαι KAS (et Athen. XI 475, Eustath. 1767, 20), adiecto Δωρίδι Pa KAGP.

---

**1** πᾷ bis scr. Pa Codd, cf. 19 • **2** φοινικέῳ Pa Codd (sed φοινικίῳ AEI et R) • **3** ἐμὸν Pa Codd, ἐμὶν Valck | φίλα K | καταδησομαι Pa, καταθύσομαι Codd, cf. Σ • **4** τάλαν Pa Va W (exclamantis vi ac sensu), τάλᾶς KS corr., unde Mɔ (tamen de syllaba correpta videas Ahr, *Gr. Dial.*, II 174) | ποθ' ἥκει Pa Va W, ποθ' ἵκει K • **5** τεθνήκαμες Pa Va W, τεθνάκ. K (et GPM) | ζοοι Pa (et S), ζωοὶ Codd • **6** ἔρ(ρ)αξεν AN • **9** ποιῆς Pa • **10** νιν Codd, μ[ιν ?] Pa | θυέων καταθύσομαι Codd, θυμοῦ καταδησομαι Pa.

---

Testim: **2** cf. papyrum Erinnae PSI 1090 *a*, 20 φο]ινικιος sscr. -(ικ)ε(ος) • **3** γράφεται καὶ ⟨καταδήσομαι, ἤγουν⟩ καταμαγεύσω· δεσμεύειν γάρ φασιν αἱ φαρμακίδες, ὅταν πρὸς κατοχήν τινα παρ' αὐταῖς καταμαγεύσωσιν Σ.





τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
ἐρχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει
φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκας
μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.
ἶυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε
Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
ἦ ῥά γέ θην, μυσαρά, καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
πάσσ' ἅμα καὶ λέγε ταῦτα· «τὰ Δέλφιδος ὀστία πάσσω».
ἶυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
αἴθω. χὡς αὕτα λακεῖ μεγάλ' ἐκπυρίσασα,
κἠξαπίνας ἅφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.
ἶυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

**13** ἐρχομένην Pa[1] Va | θ' ηρια Pa[2] | καὶ μέλαν αἷμα Pa Codd ut Hom. K 298, at confer p. 238 fragmentum n. 3 • **14** ἄμμιν Pa Codd | οπήδει Pa (et NS corr.), -άδει KA, -αδοῖς W, cf. 166 • **15** ταῦθ' Pa Va W, ταῦτ' K, cf. VII 106 | Κιρκας Pa, -ης fere Codd • **18** πρᾶτον Pa W, πρῶτον K Va • **19** πη Pa, πᾷ Codd, πεῖ Bignonius, cf. 1, XI 72, XV 33 | ἐκπεπότασαι Pa W, -ησαι K Va • **20** θην Pa, τοι Codd, cf. III 8 • **21** ὀστία Pa KW, ὀστέα Va • **24** κως Pa | λακῇ Pa Va | μέγα Pa Codd et κακκ*πυρισασα Pa, κακπυρίσασα Etym. (unde possis κἠκπυρίσασα, deinde 25 ἐξαπίνας legere pro κἠξαπίνας K, -ης Va W), καπ(π)υρίσασα Codd, μεγάλ' ἐκπυρίσασα Mein • **25** εἴδομες Pa K (S[b]), εἴλομεν Va W • **26** ἀμαθύνοι KW, ἀμαθύνῃ Va.

---

Testim: **18** τάκεται δὲ τύφεται, θυμιᾶται· γράφεται δὲ καὶ κάεται Σ (Va), unde τύφεται con. Mein • **19** cf. XI 72; de πῆ cf. I 66 et ἄλλη πη in Cyrenensium titulo *Decret.* B 37 (nec non ὅπη A 24) • **24** de κως in Pa cf. 41 et Apollon. *De Synt.* 335 | Etym. Magn. 250, 35 δάφνη τὸ φυτόν, δαοφώνη τις οὖσα, ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα· ἠχεῖ γὰρ καιομένη· μαρτυρεῖ Θεόκριτος· χὡς αὐτὰ λακῇ μέγα κακπυρίσασα, cf. Herodian. *Phil.* p. 451 ἀπανθρακίζειν οἱ Δωριεῖς ἐκπυρίσαι λέγουσιν, et Hes. *Theog.* 694 λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.

νῦν θυσῶ τὰ πίτυρα. τὺ δ᾽ Ἄρτεμι καὶ τὸν ἐν Ἅιδα
κινήσαις ἀδάμαντα καὶ εἴ τι περ ἀσφαλὲς ἄλλο.
Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται·
ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκέον ὡς τάχος ἄχει.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ᾽ ἀῆται,
ἁ δ᾽ ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,
ἀλλ᾽ ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν
ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
ὣς τάκοιθ᾽ ὑπ᾽ ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
χὡς δινεῖθ᾽ ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας,
ὣς τῆνος δινοῖτο ποθ᾽ ἁμετέραισι θύραισι.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε, πότνια, φωνῶ·
εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
τόσσον ἔχοι λάθας, ὅσσον ποκὰ Θησέα φαντί
ἐν Δίᾳ λασθῆμεν ἐυπλοκάμω Ἀριάδνας.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἱππομανὲς φυτόν ἐστι παρ᾽ Ἀρκάσι, τῷ δ᾽ ἔπι πᾶσαι
καὶ πῶλοι μαίνονται ἀν᾽ ὤρεα καὶ θοαὶ ἵπποι.

**28-37** hoc loco Pa K, post 42 Cett • **28** συ Pa | εν Αιδηι sic expresso dativo Pa, ἐν Ἅιδῃ (Ἅδῃ) Va W, ἐν Ἅδα K, ἀναιδῆ corr. Taylorus • **29** ἀδάμαντα K (et G), ῥ᾽ ἀδάμ. Va W • **30** ἄμμιν Pa Codd | ὠρύοντι K • **31** χαλκέον Pa, χάλκεον Va, χάλκειο ν W, χαλκίον K | αχη Pa • **36** η]μεν Pa ut Codd (sed ἦμες A, εἶμες N), cf. 116 • **41** τῆνος K, κεῖνος Va W | ποτ᾽ (et M) αμετερῆσι θυραισι Pa, ποθ᾽ ἁμετέρῃσι (–αισι Brun) θύρῃσι Codd • **43** και ες τρις Pa, καὶ τρὶς Codd, κὴς τρὶς Gall • **45** λάθας K Va, λάθος W (et GPM) • **46** λασθῆμεν K, λαθῆμεν A (-μες W), λελαθῆμεν NS (et M).

---

Testim: **28** cf. Hom. Δ 521 λᾶας ἀναιδής, N 139 ἀναιδέος πέτρης, et Propert. IV 11, 4 *non exorato stant adamante viae.*





ὡς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι
μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
τοῦτ᾽ ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὡγὼ νῦν τίλλοισα κατ᾽ ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
σαύραν τοι τρίψαισα κακὸν ποτὸν αὔριον οἰσῶ.
Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ᾽ ὑπόμαξον
τᾶς τήνω φλιᾶς καθ᾽ ὑπέρτερον, ἇς ἔτι καὶ νύξ,
[ἐκ θυμῶ δέδεμαι, ὃ δέ μευ λόγον οὐδένα ποιεῖ]
καὶ λέγ᾽ ἐπιτρύζοισα· « τὰ Δέλφιδος ὀστία μάσσω ».
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Νῦν δὴ μώνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
ἐκ τίνος ἄρξωμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;

**50** περάσαι Pa K, –ῆσαι Va W • **51** ἴκελος Pa K, ἴκελον Va W • **54** ὡγὼ Codd, ουτω Pa, ουγω Pa corr. • **55** ἀνιαρὲ Pa Va, ἀνιηρὲ KW • **58** τριψαισα Pa, –ασα Codd • **60** νῦν Pa Codd, νὺξ Buechelerus • **61** om. Pa K | ἐκ W (G), ἐν Va (MP) | δέδεμαι NS (δέδομαι GP), δαίδευμαι A (et EIM[2]), δέδευμαι W (V), δᾳδεῦμ(αι) cogit. Gall • **62** επιτρυζοισα Pa (et Σ[2]), ἐπιφθύζοισα Codd (–ουσα Va W) | ὀστία Pa K (V[2]), ὀστέα Va W | πάσσω Codd, καιω Pa, μάσσω Ahlwardtius • **64** μωνα Pa, μώνη KW, μούνη Va • **65** τίνος Pa Va W, τήνω δ᾽ K | ἄρξωμαι Pa S, ἄρξομαι N (MP), ἄρξομ᾽ ἐγὼ AW (G), ἄρξω K.

---

Testim: **59** γράφεται ἀπόμορξον Σ (K) • **60** γράφεται φιλίας (quod habet et Pa ante corr.), τουτέστιν ἃ πρὸς φιλίαν καὶ ἄκοντα τὸν Δέλφιν ἑλκύσει Σ | ἇς ἔτι καὶ νῦν (?)· ἕως ἔτι ἐνδέχεται καταδεθῆναι αὐτὸν Σ, sed cf. Arat. 497 καθ᾽ ὑπέρτερα γαίης ἇς ἔτι καὶ νύξ • **61** cf. III 33 τὺ δὲ μεῦ λόγον οὐδένα ποιῇ (medium !); tamen vide sis Verg. *Ecl.* VIII 101 *fer cineres Amarilli foras etc.: his ego Daphnim adgrediar; nihil ille deos, nil carmina curat* | δᾳδοῦμαι significare putes adiectam glossam καίομαι Σ (M), ἐκκρεμής εἰμι Σ (S) • **62** ἐπιφθύζοισα (cf. VII 127 et Eustath. 1392, 42; 1482, 17)· ἐπιπτύουσα, ⟨γράφεται δὲ ἐπιτρύζοισα, ἤγουν⟩ ἐπᾴδουσα ἡσύχως Σ (E), similia Σ (MS), suppl. Gall • **65** Aesch. *Cho.* 855 τί λέγω, πόθεν ἄρξωμαι et Eurip. *Iph. Aul.* 442 τί φῶ δύστηνος; ἄρξομαι πόθεν;

ἦνθ᾽ ἁ τωὐβούλοιο καναφόρος ἄμμιν Ἀναξὼ
ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δή ποκα πολλὰ μὲν ἄλλα
θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μ᾽ ἁ τωὐμαρίδα Θρᾷσσα τροφὸς ἁ μακαρῖτις,
ἀγχίθυρος ναίοισα, κατεύξατο καὶ λιτάνευσε
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα
κἀμφιστειλαμένα τὰν ξυστίδα τᾶς Κλεαρίστας.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
ἤδη δ᾽ εὖσα μέσαν κατ᾽ ἀμαξιτόν, ᾇ τὰ Λύκωνος,
εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
τοῖς δ᾽ ἦς ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τύ Σελάνα,
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
χὡς ἴδον, ὡς ἐμάνην· ὥς τοι περὶ θυμὸς ἰάφθη
δειλαίας. τὸ δὲ κάλλος ἐτάκετο, κοὐδέ τι πομπᾶς
τήνας ἐφρασάμαν, οὐδ᾽ ὡς πάλιν οἴκαδ᾽ ἀπῆνθον
ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξαλάπαξε,
κείμαν δ᾽ ἐν κλιντῆρι δέκ᾽ ἄματα καὶ δέκα νύκτας.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

**66** καvηφόρος Pa K, καναφ. Va W | ἄμμιν Pa Codd • **67** τᾷ Pa$^1$ Codd, και Pa corr. | ποκα Pa Codd, τόκα Casaubonus • **68** ενι δε λεαιναι Pa • **70** Θευμαρίδα Pa Codd, τωὐμαρίδα Gall • **72** θάσασθαι Pa N Scorr., θεάσασθαι KWA • **74** κἀμφισ. KWA, ἀμφισ. NS | ξυστίδα Pa K Va, ζυγίδα W (V) | τᾶς Pa W Va, τὰν KA$^1$(U) • **76** μέσον KWA, μέσαν NS • **78** ης Pa, ἦν Codd • **79** τὺ Σελάνα Pa K, τὸ Σελάνας Va W • **82** μ]ευ πυρι Pa (iam Taylorus), μοι (μευ̃ N ut Mo) περὶ Codd, τοι περὶ Gall, cf. VII 25 (non XXV 53, ubi τοι = tibi), praeterea cf. III 42 • **83** κοὐδέ τι Codd (οὐδ᾽ ἔτι P), ουκετι Pa (κοὐκέτι D) • **84** ἐφρασάμαν Codd, φρασσάμαν Pa (unde κοὔ κέ τι ... φρασσαίμαν con. Gall) • **85** ἐξεσάλαξεν Pa $\Sigma^2$, ἐξαλάπαξεν Codd.

TESTIM: **85** γράφεται ἐξεσάλαξεν, ἵν᾽ ᾖ· ἐξέσεισε, διέφθειρεν $\Sigma$ (K).





καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,
ἔρρευν δ᾽ ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπά
ὀστί᾽ ἔτι ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα,
ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
ἀλλ᾽ ἦς οὐδὲν ἐλαφρόν, ὁ δὲ χρόνος ἄνυτο φεύγων.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
χοὔτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
« εἰ δ᾽ ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος·
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος, ἀλλὰ μολοῖσα
τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
κἤπεί κά νιν ἐόντα μάθῃς μόνον, ἄσυχα νεῦσον,
κεἴφ᾽ ὅτι Σιμαίθα τυ καλεῖ, καὶ ἀφάγεο τεῖδε ».
ὣς ἐφάμαν, ἃ δ᾽ ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα,
πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
ἱδρώς μευ κοχύδεσκεν ἶσον νοτίαισιν ἐέρσαις,

**89** ερ[ρ]εντ᾽ Pa, ἔρρεν δ᾽ K, ἔρρεον δ᾽ W (V), ἔρρευν δ᾽ Va | κεφαλᾶς Pa K, –ῆς Cett • **90** ὀστί᾽ Pa KWA, ὀστέ᾽ NS (U) | ετι ης Pa, ἔτ᾽ ἦς Codd • **94** δωλα Pa, δούλᾳ Codd | ἀλαθέα KWA, ἀληθέα Pa et NS, cf. 154 • **95** ειτ᾽ Pa, εἰ δ᾽ Codd (εἶ᾽ P, cf. V 78) | Θεστυλι εμοι Pa, cf. XV 30 | μᾶχος Pa, μῆχος Codd • **100** μάθῃς Pa KAS$^2$, μάθοις Cett | ησυχα Pa • **101** κεῖφ᾽ Pa K, κῆφ᾽ Va W | αφαγέο diserte Pa et Codd (ὑφαγέο Mo) | τειδε Pa, τωδε Pa$^2$ (et NS), τᾷδε KWA (U) • **102** ἐφάμαν Pa W, –ην K Va | ἦλθε K • **103** μιν Pa W (V), νιν K Va • **104** οὐδὸν Codd, ὠδὸν Gall, cf. XXIV 15 • **106** ἐκ Pa Va W, ἐν K • **107** μευ Pa corr. KNS, μὲν Pa$^1$ W (et A) | κοχύδεσκεν Pa K, κοχύεσκεν Cett (κογκ. W, κεχ. S) | ἶσον Pa KW, –ος A, ὅσον NS.

TESTIM: **89** Hom. κ 393 ἐκ μὲν μελέων τρίχες ἔρρεον, Hes. fr. 27 χαῖται ἔρρεον ἐκ κεφαλέων, Ovid. *Met.* VI 140 *defluxere comae*; cf. Proleg. p. L • **100** Μουνάτιος παρώξυνε τὸ ἥσυχα, ἵν᾽ ᾖ ἀντὶ τοῦ ἡσύχως $\Sigma$ (K), at potuit Munatius XIV 10 et 27 potius respicere • **106** Leonid. *Anth.* IX 322 ἐκ δὲ μετώπου ἱδρὼς πιδύων • **107** Hesych. v. κοχυδεῖ, cf. Eustath. 1095, 18.

οὐδέ τι φωνῆσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα,
ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μ' ἐσιδὼν ὥστοργος ἐπὶ χθονὸς ὄμματα πήξας
ἕζετ' ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·
«ἦ ῥά με Σιμαίθα τόσον ἔφθασας, ὅσσον ἐγώ θην
πρᾶν ποκα τὸν χαρίεντα τράχων ἔφθασσα Φιλῖνον,
ἐς τὸ τεὸν καλέσαισα τόδε στέγος ἤ με παρῆμεν.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
ἦνθον γάρ κα ἐγώ, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα,
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος, αὐτίκα νυκτός,
μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
πάντοθε πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί κ', εἰ μέν μ' ἐδέχεσθε, τάδ' ἧς φίλα, καὶ γὰρ ἐλαφρός
καὶ καλὸς πάντεσσι μετ' ἠιθέοισι καλεῦμαι·
εὗδόν τ', εἰ μῶνον τὸ καλὸν στόμα τεῦς ἐφίλησα·

**108** ουδ' ετι **Pa** | φωνᾶσαι **Pa Codd, corr. Wil** | δυνάμην **Pa Va W**, –μαν **K** • **109** κνυζεῦνται **Pa KAN**, –ντα **S(U)W**, κνυζῶνται **Scorr. sive Plan, cf. VI 30** | μητερα **Pa** • **112** πήξας **Pa Codd, ut Hom. Γ 217** • **115** ποτε **Pa** | τραχων **Pa (et E)**, τρέχων **Codd** | ἔφθασα **Pa N**, –ασσα **S**, –αξα **KAW** • **116** καλέσασα **Pa Codd**, –σαισα **Gall, cf. 132** | παρῆμεν **Pa Codd** • **118** και εγω **Pa**, κἀγὼ **AW**, κἠγὼ **NS**, κἠγὼν **K**, κα ἐγὼ **Legrandius** • **122** πάντοθι **Pa NS**, πάντοθε(ν) **KAW** | πορφυρέαισι **(et GP, deficit K)** περὶ ζώστραισιν **Pa K**, –έῃσι (–έοισι **AW**) π. ζώστρῃσι **Va W** • **124** καί μ' εἰ μέν κ' **Codd, corr. Ahr Mein, nunc** [καικειμεν]μ **Pa** | ἧς **Codd**, ως **Pa** • **126** εὗδόν τ' εἰ **KNS**, εὗδον δ' εἰ **A(U)W**, εὕαδε κεἰ **Pohlenzius** | κε μόνον **Pa Codd**, μῶνον **Wil** | τεῦς **Pa K**, τεῦ **Va W** | εφιλησα **Pa**, -λασα **Codd.**

---

Testim: **124** καὶ εἰ μὲν ἐδέχεσθέ με, ἐκάθευδον ἂν ἀρκούμενος, καὶ εἰ μόνον τὸ στόμα σου ἐφίλησα – καὶ ταῦτα ἂν καλῶς εἶχε ἡμῖν, ἄριστος γὰρ τῶν ἡλικιωτῶν εἰμι· εἰ δὲ ἀπώσασθε, τότε ἂν τὴν βίαν προσῆγον Σ • **126** cf. XXXIX 1, 7 et XLII 2, 7 εὕαδεν.





εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,
πάντως κα πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,
καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἵλευ,
ὦ γύναι, ἐσκαλέσαισα τεὸν ποτὶ τοῦτο μέλαθρον,
αὔτως ἡμίφλεκτον. Ἔρως δ' ἄρα καὶ Λιπαραίω
πολλάκις Ἁφαίστοιο σέλας φοβερώτερον αἴθει,
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα,
σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
καὶ νύμφαν ἐσόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
ἀνέρος». ὣς ὃ μὲν εἶπεν, ἐγὼ δέ μιν ἁ ταχυπειθὴς
χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων,
καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
θερμότερ' ἧς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ.
ὡς καί τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
κοὔτε τι τῆνος ἐμὶν ἀπεμέμψατο μέσφα τόδ' ἐχθές,
οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
μάτηρ τᾶς ἁμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς
σάμερον, ἁνίκα πέρ τε ποτ' ὠρανὸν ἔτραχον ἵπποι

**128** καὶ **Pa Codd**, κα **Ahr** | ὑμέας **Codd**, ὑμας **sscr.** ε (ὑμέας **an** ὑμὲ?) **Pa** • **132** εσ]καλεσαισα **Pa**, –σασα **Codd** • **133** Λιπαραίου **Codd**, Λιπαρη[ **Pa, corr. Valck** • **134** Ἁφαίστοιο **KW**, Ἡφαίστοιο **Va** | φοβερωτερον **Pa**, φλογερώτερον **Codd** • **137** ἐφόβησ' **Codd**, ἐσόβησ' **Jacobsius** | λιποῦσαν **K** • **138** μιν **Pa**, οἱ **Codd, cf. 72** • **139** ἐφαψαμένα **K**, -ένη **Va W** | ἔκλιν' **Codd**, εκαθημ' **Pa**, ἐκάθιξ' **dubius Huntius** • **141** εψιθυρισδομες **Pa**, -σδομεν **K Va**, -ζομες **W** | ἁδὺ **Codd** (ἀεὶ **N**), ηδη **Pa** • **142** ὡς **Pa (?) KW**, χὡς **Va** | κα **Codd** (καὶ **S**), κεν **Pa** | θρυλέοιμι **Codd**, θρέοιμ' ω **Pa, scil.** θροέοιμι **cogit. Gall** • **143** ηλθομες **Pa** • **144** κουτε τι **Pa (et Mo)**, κοὐκέτι **Codd** | απεμεμψατο **Pa (et $V^2$ fortuito)**, ἀπεπέμ. **Codd** (ἐπεπέμ. **N**, ἐπεμέμ. **S**) | τόδ **Pa**, τύγ' **KW**, τοι **Va**, τό γ' **ex recenti libro Ahr** • **146** αμας **Pa (et S)**, ἐμᾶς **Codd** • **147** περ τοι **Pa corr.**, τοι τε **$Pa^1$** | ὠρανὸν **Pa K**, οὐρανὸν **VaW** | ἔτραχον **Pa KW**, ἔτρεχον **Va**.

'Αῶ τὰν ῥοδόεσσαν ἀπ' 'Ωκεανοῖο φέροισαι,
κεῖπέ μοι ἄλλα τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἔραται.
κεἴτε νιν αὖτε γυναικὸς ἔχει πόϑος εἴτε καὶ ἀνδρός,
οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν Ἔρωτος
ἀκράτω ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,
κἤφαϑ' ὅ οἱ στεφάνοισι τὰ δώματα τῆνα πύκασϑεν.
ταῦτά μοι ἁ ξείνα μυϑήσατο, ἔστι δ' ἀλαϑής.
ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη
καὶ παρ' ἐμὶν ἐτίϑει τὰν δωρίδα πολλάκις ὄλπαν·
νῦν μὰν δωδεκαταῖος, ἀφ' ὧτέ νιν οὐδὲ ποτεῖδον.
ἦ ῥ' οὐκ ἄλλο τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
νῦν μὰν τοῖς φίλτροις καταδήσομαι· αἰ δ' ἔτι κά με
λυπῇ, τὰν 'Αίδαο πύλαν ναὶ Μοίρας ἀραξεῖ.
τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν
'Ασσυρίω, δέσποινα, παρὰ ξείνοιο μαϑοῖσα.
ἀλλὰ τὺ μὲν χαίροισα ποτ' 'Ωκεανὸν τρέπε πώλως,
πότνι', ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόϑον ὥσπερ ὑπέσταν.
χαῖρε, Σελαναία λιπαρόϑρονε, χαίρετε δ' ἄλλοι
ἀστέρες, εὐκήλοιο κατ' ἄντυγα Νυκτὸς ὀπαδοί.

**148** ροδοεσσαν Pa, ῥοδόπαχυν Codd | φέρουσαι Pa$^1$K • **149** ερᾶται Pa, cf. I 78 et Sapph. α 5, 4 ἔρᾶται (coniunct.) • **150** νιν Pa, μιν Codd • **152** ἀκράτω Pa Codd, -τως Pa$^2$ • **153** κηφάτ' ὁ οἱ distincte Pa, καὶ φάτο οἱ Codd, κἤφαϑ' ὅ οἱ Gall | πυκάσδεν Codd, -ασϑην Pa, (ἐ)πύκασϑεν Gall • **154** ἀληϑής Pa Codd, corr. RV$^2$ • **155** η (ηδη Pa$^2$) γαρ μοι τρις Pa | αλλοκ' Pa (iam Brun), ἄλλοτ' Codd • **157** μαν Pa, δέ τε Codd • **158** ἦρ' Pa KW, ἄρ' Va • **159** μὰν Pa KW, μὲν Va, μιν Maas | καταδησομαι Pa, καταϑύσομαι Codd | κα με Pa, κἠμὲ Codd • **160** πύλαν Codd, ϑυραν Pa corr. • **161** κίστη Pa Va W, -ᾳ K • **162** μαϑοῦσα K • **163** πώλους Pa Codd, corr. Ahr • **164** εγων Pa, ἐγὼ δ' Codd | πόϑον Pa K, πόνον Va W • **165** λιπαροϑρονε Pa, λιπαρόχροε Codd, cf. 102 et 148 • **166** εὐκήλοιο Pa Codd (εὐκάλοιο S).

Testim: **164** de πόϑον et πόνον inter se mutatis cf. Anth. V 168, 3, at Nicet. Eugen. III 284 ἔργον δ' οὖν τετέλεστο καὶ ἐς πόϑον ἤλυϑον ἄμφω scripturam πόϑον in v. 143 confirmat.



# III

## ΘΕΟΚΡΙΤΟΥ

## ΑΙΠΟΛΟΣ Η ΚΩΜΑΣΤΗΣ

Κωμάσδω ποτὶ τὰν 'Αμαρυλλίδα, ταὶ δέ μοι αἶγες
βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλημένε, βόσκε τὰς αἶγας,
καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε, καὶ τὸν ἐνόρχαν
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ.
ὦ χαρίεσσ' 'Αμαρυλλί, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύϑεν ἦμεν,
νύμφα, καὶ προγένειος; ἀπάγξασϑαί με ποησεῖς.
ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶϑε καϑεῖλον,
ὦ μ' ἐκέλευ καϑελεῖν τύ· καὶ αὔριον ἄλλα τοι οἰσῶ.
ϑᾶσαι μάν, ϑυμαλγὲς ἐμὶν ἄχος. αἴϑε γενοίμαν
ἁ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν
τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ᾇ τὺ πυκάσδῃ.

Codd: K, La (= PQW), Va (= AGNU).
Pap: Po (11-21, 34-46, 52-54).
Tit: 'Αμαρυλλὶς ἢ αἰπόλος ἢ κωμαστὴς GP, praemisso κῶμος U (tantum κῶμος habet A), Αἰπόλος ἢ 'Αμαρυλλὶς Σ (Va) in argum., Αἰπολικὸν ἢ 'Αμαρυλλὶς K (in tit. et in argum.).

**3** πεφιλαμένε Codd, -λημένε Gellius, cf. XI 6 • **8** ἦμεν (vel ἦμες) K Va, εἶμεν La • **9** ποιησεῖς (vel -σῇς) fere Codd, ποησεῖς Q, ποησῇς N • **10** μᾶλα La Va, μῆλα K | τηνῶϑε K Va, τηνῶ δὲ La • **12** εμιν Po (fortuito cum deterioribus et Lascariana familia), ἐμὸν Codd | αἴϑε K La, εἴϑε Va • **14** πυκάσδῃ Codd (-δει Q), πυκαζ[ Po.

Testim: **3** Gellius *Noct. Att.* IX 9 • **4** ἢ τὸν τέλειον ἢ ἡμιτομίαν Σ (scil. ἐνόρχαν Σ$^2$).

νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός. ἦ ῥα λεαίνας
μαζὸν ἐθήλαζε, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων καὶ ἐς ὀστίον ἄχρις ἰάπτει.
ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος, ὦ κυάνοφρυ
νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλήσω.
ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.
τὸν στέφανον τῖλαί με κατ' αὐτίκα λεπτὰ ποησεῖς,
τόν τοι ἐγών, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω
ἀμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
ὤμοι ἐγών, τί πάθω, τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
τὰν βαίταν ἀποδὺς ἐς κύματα τηνῶ ἁλεῦμαι,
ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
καἴ κα δὴ 'ποθάνω, τό γε μὰν τεὸν ἁδὺ τέτυκται.
ἔγνων πρᾶν, ὅκ' ἔμοιγε μεμναμένῳ εἰ φιλέεις με
οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
ἀλλ' αὔτως ἁπαλῶ ποτὶ πάχεος ἐξεμαράνθη.

**16** μασδὸν Codd, μαζὸν Thom. Mag. et Schol. ad Eurip., cf. 48 | ἐθήλαζε Va QP, -ασδε KW, -αξε Stobaeus | μιν Codd, νιν Stobaeus | ἔτραφε Po et A (et ER) ut Stobaeus, ἔτρεφε K La GNU • **17** ὀστέον Codd, ὀστίον Ber | ἰάπτει Po K Va, ἱκάνει La • **18** λίθος Codd, λίπος $\Sigma^2$ • **19** φιλάσω Codd, φιλήσω Ahr • **20** φιλάμασιν K Va Q, φιλήμ. PW (et Stobaeus) • **21** ποησῆς KN (-σεῖς Q), ποιησῆς AU (-σεῖς GPW) • **23** ἀμπλέξας KLa (G), ἐμπλέξας Va • **24** ἐγὼν KP (et V), ἐγὼ Va (et QW) | πάθω τι Va W (τύ K, τίς P, om. Q) • **25** τηνῶ KLa, τῆνα Va (τηνῶθεν G) • **26** ὧπερ Va La (ὦ P, ὥσπερ W), οὗπερ K | τὼς θύννως Codd (τοὺς θύννους AP) • **27** μὴ Codd, δὴ Graefius | μὰν La Va, θὰν K • **28** πρὰν La Va, θὰν K | ὅκ' (ὅτ' K) ἔμοιγε KQW, ὅκα (ὅκε N) μεῦ Va, ὅτ' ἔμευ P, ὅκα μοι Greverus.

---

Testim: **15-18** Stob. *Flor.* IV 20, 60 • **16** Stob. μαστόν, Thomas Mag. s. v. μαστός· εὕρηται δὲ καὶ μαζός· Θεόκριτος· ἦ ῥα λεαίνης μαζόν, Schol. ad Eurip. *Hec.* 139 • **18** γράφεται διὰ τοῦ π̄ λίπος $\Sigma$, γράφεται καὶ τὸ πᾶν ἔπος $\Sigma$ (PT) • **20** = XXVII 6, qua re Hauptius v. 20 delevit et in eius locum v. 24 traduxit | Stob. *Flor.* IV 20, 19.





εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
ἁ πρᾶν ποιολογεῦσι παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
τὶν ὅλος ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως
αἰτεῖ, καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός. ἦ ῥά γ' ἰδησῶ
αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς,
καί κέ μ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστί.
Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐν χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν, ὣς ἐμάνη· ὡς ἐς βαθὺν ἅλατ' ἔρωτα.
τὰν ἀγέλαν χὠ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίναισιν ἐκλίνθη,
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
οὐχ οὕτως Ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι;

**31** ἁ Γροιώ $\Sigma^2$ | τἀληθέα KPW, τἀλαθέα QVa • **32** πρὰν La Va, πρὶν K | ποιολογεῦσα Codd, corr. Hartmannus | Παραιβάτις $\Sigma^2$ • **35** καὶ ἁ Codd, καλα $Po^1$ • **37** ἆρα Codd, ἦ ῥα Lovanius, cf. 7, 8, 15 (ubi ηρα Po quoque), sed etiam VII 149, 151 • **39** αδαμαντινος $Po^2$ (et $H^2$) | εστι $Po^2$ (et P), ἐντὶ Codd, εσσι $Po^1$ • **41** ἐν La Va, ἐνὶ K • **42** εἰς K La, ἐς Va | ἅλλατ' K (et G) Tzetzes, ἅλλετ' La Va (praeter ἅλλοτ' $W^1$, ἅλετ' P), corr. Hemsterhusius (ut habet et codex Seminarii Patavini) • **44** ἀγκοίνῃσιν Codd, corr. Win • **45** Ἀλφεσιβοίης KPW, -βοίας QVa • **46** ὤρεσι K, οὔρεσι Va La (ὄρ. P) | μᾶλα Codd (μῆλα P) • **46-48** delendos censuit Gall • **48** νιν K La, μιν Va | μαζοῖο K Va P, μασδοῖο QW.

---

Testim: **31** τινὲς ὄνομα κύριον τὸ Γροιώ· οὐδέποτε γὰρ τὴν γραῖαν οὕτως φασί· τινὲς δὲ ⟨ἀγροιώ⟩, τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην $\Sigma$ • **32** παραιβάτις· ἢ ὄνομα κύριον ἢ ἡ παροδῖτις ἢ ἡ παραπορευομένη ἔριθος $\Sigma$ • **35** ἐριθακίς· μισθώτρια ὑποκοριστικῶς, ἢ ὄνομα κύριον $\Sigma$ • **42** cf. II 82 | Tzetzes *Chil.* XII 9.

ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
ὃς τόσσων ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
ἀλγέω τὰν κεφαλάν, τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

**49** ἐμὶν **K Va**, ἁμῖν **La** (ita ut μὲν abiciendum videatur) • **51** τόσσων **Codd** (τοσσῆν' **P**, cf. **I** 54) • **52** ἀλγέω **K Va**, ἀλγῶ **La** | τὶν **K Va Q**¹, τοὶ **La** • **53** δὲ **K Va**, om. **La** | ἔδοντι **Codd**, ἔδονται **U** (et iam **S** ut Gregor.).

---

Testim: **52** τὰν κεφάλαν, ὡς ἡμέραν· πολλὰ γὰρ ⟨Αἰολικὰ⟩ σῴζεται παρὰ Συρακουσίοις Σ, cf. XXIV 6, ubi κεφαλὰς (scil. κεφάλας?, cf. XV 1) ita scr. Pa • **53** Gregor. Cor. 73.



# IV

## ΘΕΟΚΡΙΤΟΥ

## ΝΟΜΕΙΣ

(Βάτ.) Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα;
(Κορ.) οὔκ, ἀλλ' Αἴγωνος· βόσκεν δέ μοι αὐτὰς ἔδωκεν.
(Βάτ.) ἦ πᾷ ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες;
(Κορ.) ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.
(Βάτ.) αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;
(Κορ.) οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.
(Βάτ.) καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει;
(Κορ.) φαντί νιν Ἡρακλῆι βίην καὶ κάρτος ἐρίσδεν.
(Βάτ.) κἤμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος εἶμεν ἀμείνω.
(Κορ.) κᾤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.
(Βάτ.) πείσαι κα Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.

Codd: **K, La** (= **PQW**), **Va** (= **AGU**).
Papp: **Po** (8-11, 56-63), **Pe** (34-38).
Tit: Νομεῖς **GK** (huc et titulum quinti transtulit **K**), Βουκολιασταὶ ἢ νομεῖς **P**, Εἰς Κορύδωνα ἢ νομεῖς ἢ φιλαλήθης ἢ Βάττος **PU**, Βουκολικὸν Σ (in argum.), Αἴγων Σ (III 1 *a*).

---

**1** τίνες **K(AW)**, τίνος **(E)GUPQ(V)** • **2** βόσκεν **La Va**, βόσκειν **K** • **3** ἀμέλγες **Codd** (-γεις **PU**) • **5** αὐτὸς **La K**² **U**² (οὗτος **K**¹), ὡὐτὸς **Va** | βωκόλος **Codd**, corr. **Ahr** • **7** ἐν **P Va** (sed 7-8 om. **G**, ἐν ὀφθ. ἔλαιον **AU**), ἐπ' **QW**, om. **K** • **8** κάρτος **K Va W**, κράτος **PQ** | ἐρίσδεν **La Va**, -δειν **K** • **9** εἶμεν **K La**, ἦμεν **Va** • **10** εἴκατι **La**, εἴκοτι **K Va** | τουτόθι **Codd**, τουτόθε **S** (id est Plan) | μᾶλα **Codd**, μῆλα **Ahr** • **11** κε **K**, τοι **La Va**, κα **Ahr**.

---

Testim: **1** Verg. *Ecl.* III 1 *cuium pecus?* • **7** οὐχ ὥς τινες ἀναγινώσκουσιν ἐλαιόν, ἵν' ᾖ σημαῖνον τὸ ἀγριέλαιον, ἐξ οὗ ὁ Ὀλυμπιακὸς στέφανος σύγκειται Σ • **8** βίαν voluit Brun, tamen Hom. γ 370, δ 415 κάρτος τε βίη τε scripturam codicum commendat.

(Κορ.) ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἴδε ποϑεῦντι.
(Βάτ.) δειλαῖαι δ' αὖται τὸν βουκόλον ὡς κακὸν εὗρον.
(Κορ.) ἦ μὰν δειλαῖαί γε καὶ οὐκέτι λῶντι νέμεσϑαι.
(Βάτ.) τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
τὠστία. μὴ πρῶκας σιτίζεται ὥσπερ ὁ τέττιξ;
(Κορ.) οὐ Δᾶν, ἀλλ' ὅκα μέν νιν ἐπ' Αἰσάροιο νομεύω
καὶ μαλακῶ χόρτοιο καλὰν κώμυϑα δίδωμι,
ἄλλοκα δὲ σκαίρει τὸ βαϑύσκιον ἀμφὶ Λάτυμνον.
(Βάτ.) λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος. αἴϑε λάχοιεν
τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα ϑύωντι
τᾷ Ἥρᾳ, τοιόνδε· κακοχράσμων γὰρ ὁ δᾶμος.
(Κορ.) καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω
καὶ ποτὶ τὸν Νήαιϑον, ὅπη καλὰ πάντα φύοντι,
αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.
(Βάτ.) φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
εἰς Ἀίδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας.
χἀ σῦριγξ εὐρῶτι παλύνεται, ἅν ποκ' ἐπάξα.
(Κορ.) οὐ τήνα γ', οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
δῶρον ἐμοί νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,
κεὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω.

12 αἴδε K, ὧδε La Va • 13 δ' αὖται Codd (praeter γ' P ut iam S Planudis et R Triclinii, κ' $V^{2}$) | βωκόλον Codd (βουκ. Q) • 16 τὠστία K La, -έα Va • 17 Δᾶν La Va, γᾶν K | ἄλλοκα Codd, corr. Reiskius | μιν Codd (νιν GP) | νομεύω KPQU, νομεύων AGW • 19 Λάτυμνον Codd (Λάταμνον GP) • 20 μὰν KQW, μὲν Va P | εἶϑε Codd (αἴϑε W) • 21 ϑύοντι Codd, corr. Valck • 22 κακοχράσμων Codd, -φράσμων Mein | δᾶμος Codd, ταῦρος $\Sigma^{2}$ • 23 στομάλιμνον $KPW^{2}$, τομάλιμνον Q, τὸ μάλιμνον Va W • 24 ὅπη KP, ὅπᾳ Cett, ὀπεῖ Ahr • 25 κνύζα K Va, κνίζα La • 28 ἦν K | ποκ' K La $U^{2}$, ποτ' Va | ἐπάξα K Va P, ἐπάξω QW (et alias ut glossam) • 29 γ' La Va, om. K • 30 ἐμοὶ Codd, μοι Ahr.

TESTIM: 20 πύρριχος· τινὲς παροξυτόνως πυρρίχος Σ • 22 κακοχράσμων ἢ ὁ ταῦρος ἢ ὁ δῆμος, ἀντὶ τοῦ κακὸς εἰς χρῆσιν· ἦν γὰρ τάχα κερατιστής· τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν λεπτὸν Σ.





αἰνέω τάν τε Κρότωνα 'καλὰ πόλις ἅ τε Ζάκυνϑος'
καὶ τὸ ποταῷον τὸ Λακίνιον, ᾇπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας.
τηνεὶ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἄγε πιάξας
τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες
μακρὸν ἀνάυσαν, χὠ βουκόλος ἐξεγέλασσεν.
(Βάτ.) ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέϑεν οὐδὲ ϑανοίσας
λασεύμεσϑ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβης.
αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει.
(Κορ.) ϑαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ ϑανόντες.
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴϑριος, ἄλλοκα δ' ὕει.
(Βάτ.) ϑαρσέω. βάλλε κάτωϑε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
τὸν ϑαλλὸν τρώγοντι τὰ δύσσοα. σίτϑ' ὁ λέπαργος.
(Κορ.) σίττ' ὦ, Κυμαίϑα, ποτὶ τὸν λόφον. οὐκ ἐσακούεις;
ἡξῶ ναὶ τὸν Πᾶνα κακὸν τέλος αὐτίκα δωσῶν,
εἰ μὴ ἄπει τουτῶϑεν. ἴδ' αὖ πάλιν ἅδε ποϑέρπει.
αἴϑ' ἦς μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω.
(Βάτ.) ϑᾶσαί μ' ὦ Κορύδων, πὸτ τῶ Διός. ἁ γὰρ ἄκανϑα
ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαϑεῖαι

32 τάν τε Codd, ἅ τε $PQ^{2}$ | ἅ τε Codd (τε erasit $A^{2}$ Moschopulum secutus) • 34 κατ[αι]δασσατο Pe | μάζας KPW, μάσδας Va Q • 37 βουκόλος K, βωκ. La Va | ἐξεγέλασεν KGQW, -λασσεν AUP, -λαξεν Tzetzes • 39 φίλαι ὅσσον K (etiam S et recentt.), φίλαι τόσσον La Va, φίλα τόσσον Briggsius | ἀπέσβης K, -βας La Va • 46 σίττ' ὦ K La, σίτϑ' ὦ A, σιτϑ' ἁ GU (et Mo, inde vulgo); post ὦ, quasi exclamantis vocem, non appellantis, distinxit Gall • 46 Κυμαίϑα K Va, Κιναίϑα La male ex V 102 • 48 ἅδε Va, ἥδε K, ὧδε La (sed om. Q) • 49 εἴϑ' (αἴϑ' W) ἦν Codd, αἴϑ' ἦς Toupius, πεῖ ϑην Ahr | τὸ Codd (τὺ P), τι Herm | πατάξω Codd, πάταξα $K^{1}$ • 50 ποττῶ La, ποτὶ τῶ K Va.

TESTIM: 37 Tzetzes *Chil.* II 580 • 46 cf. Eurip. *Cycl.* 49 sqq. ψύττ'· οὐ τᾷδ' οὔ; οὐ τᾷδε νεμῇ (ita vulgo, sed ψύττ' ὦ· οὐ τᾷδ', οὐ τᾷδε νεμῇ corr. Gall)... ὕπαγ' ὦ, ὕπαγ' ὦ κεράστα μηλοβότα στασίωρον, et Sophron. fr. 10 φέρ' ὦ τὸν δρίφον, PSI 1214 *a*, 7 φέρ' ὦ (sed φέρ' ὦ corr. Gall) τὰν σκύλακα.

τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
ἐς ταύταν ἐτύπην χασμεύμενος. ἦ ῥά τι λεύσσεις;
(Κορ.) ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τέ νιν· ἅδε καὶ αὐτά.
(Βάτ.) ὁσσίχον ἐστὶ τὸ τύμμα καὶ ἁλίκον ἄνδρα δαμάσδει.
(Κορ.) εἰς ὄρος ὄκχ' ἕρπῃς, μὴ νήλιπος ἔρχεο Βάττε·
ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.
(Βάτ.) εἶπ' ἄγε μ' ὦ Κορύδων, τὸ γερόντιον ἦ ῥ' ἔτι μύλλει
τήναν τὰν κυάνοφρυν ἐρωτίδα, τᾶς ποκ' ἐκνίσθη;
(Κορ.) ἀκμάν γ', ὦ δειλαῖε· πρόαν γε μὲν αὐτὸς ἐπενθὼν
καὶ ποτὶ τᾷ μάνδρᾳ κατελάμβανον, ἆμος ἐνήργει.
(Βάτ.) εὖ γ' ὤνθρωπε φιλοῖφα, τό τοι γένος ἢ Σατυρίσκοις
ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδεις.

**52** ταὶ ἀτρακτυλ(λ)ίδες Codd • **53** ἐς Codd | ἐτύπαν Codd, ἐτύπην ex recentt. Ahr | χασμεύμενος Codd, -μώμενος S (Planudis, inde Mo) | ἦ ῥά τε K Va, ἦ ἄρα La, ἦ ῥά γε Med, ἦ ῥά τι Mein, ἦρά ἑ Ahr • **55** δαμάσδει Codd (-άζει P) • **56** ὀκκ' K Va, ὄχ' La, ὄκχ' Bon | ἕρπῃς K Va, ἕρπεις La | νήλιπος K, ἀνάλιπος sive ἀνήλιπος La Va • **57** ῥάμνοι Codd, κάκτοι $\Sigma^2$ | κομόωντι Codd (κομέονται Q[1] et Etym.) • **58** μ' ὦ Codd (μοι AU) • **60** γ' om. K | πρώαν La, πρὰν K Va, πρόαν Briggsius (et E) | μὲν K Va, μὰν La • **61** τᾷ μάνδρᾳ KPQ[2], τὰν μάνδραν QW Va, τὰν μάκτραν $\Sigma^2$ | ἐνάργει Codd, ἐνήργει S • **63** ἐρίσδει Codd, ἐρίσδεις K[1].

Testim: **57** γράφεται καὶ κάκτοι $\Sigma$, cf. Long. *Past.* I 2, 1 ubi v. l. βάτων κάκτων | Etym. Magn. 156, 30 s. v. ἀσπάλαθος • **61** γράφεται καὶ ποτὶ τὰν μάκτραν, ὅ ἐστι σκεῦος ξύλινον ἀβακοειδές, οὗ φυρᾶν εἰώθασιν $\Sigma$.



# V

## ΘΕΟΚΡΙΤΟΥ

## ΟΔΟΙΠΟΡΟΙ

(Κομ.) Αἶγες ἐμαί, τῆνον τὸν ποιμένα τὸν Συβαρίταν
φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.
(Λάκ.) οὐκ ἀπὸ τᾶς κράνας; σίττ' ἀμνίδες, οὐκ ἐσορῆτε
τόν μευ τὰν σύριγγα πρόαν κλέψαντα Κομάταν;
(Κομ.) τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα, δῶλε Σιβύρτα,
ἐκτάσω σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;
(Λάκ.) τάν μοι ἔδωκε Λύκων, ὠλεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἀγκλέψας ποκ' ἔβα νάκος; εἰπὲ Κομᾶτα.
οὐδὲ γὰρ εὐμάρα τῷ δεσπότᾳ ἧς τοι ἐνεύδειν.

Codd: K, La (= PQW), Va (= AG et L a v. 55).

Papp: Po (137–149), Pe (3–8, 50–56, 83–89), Pu (53–65, 81–93, 110–122, 127–150), Pa (19–28, 33–37, 88–96, 143–150).

Tit: Ὀδοιπόροι Pa K Va, Αἰπολικὸν (καὶ) ποιμενικὸν KG (et U) PQ et $\Sigma$ (in argum.) nec non $\Sigma$ (VII 21 *b*), Βουκολιασταὶ KPQ (sed in K haec omnia leguntur per errorem super idyllium IV).

**2** Λάκωνα Codd (quod nomen in vv. 86 et 143 servavit Pu quoque), Λάμωνα Gall, qui ubique pro Λᾰκων in vv. 9, 14, 86, 136 restituendum esse Λάμων censuit, collatis Longi *Past.* passim • **3** κράνας Codd, α[κ]ρα[ς Pe • **4** πρώαν Codd, πρόαν Briggsius • **5** Σιβύρτα KP, Σιβάρτα W, Συβάρτα Q Va ( in scholio G, Συβαρίτα in textu G) • **6** ἐκτάσω Codd, cf. contra IV 28 ἐπάξα (quare ἐκτάσα recentiores quidam hoc loco scripserunt) • **8** τάν μιν QW • **10** Εὐμάρᾳ vel εὐμάρα $\Sigma$, cf. 73 et 119 | ἧς Codd (ἦν GE) | ἐνεύδειν (–ην) Codd, ἐνεύδεν Gregor., et cf. 7, 27, 36, 107, 136.

Testim: **10** εὐμάρα· τινές φασιν ὅτι δέρμα τί ἐστι καὶ οὐκ ὄνομα, ἵν' ᾖ· οὐδὲ γὰρ δεσπότῃ σου (immo τοι = σοι potius opinor, scil. *tibi domino*) εὐμάρα ἦν ὥστε ἐνεύδειν $\Sigma$ (Va), et εὐμάρα τὸ κώδιον, ἢ κύριον ὄνομα $\Sigma$ (P) | Gregor. Cor. 72 ἧς τοι ἐνεύδεν.

(Κομ.) τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἀνίκ' ἔθυσε
ταῖς Νύμφαις τὰν αἶγα. τὺ δ' ὦ κακὲ καὶ τόκ' ἐτάκευ
βασκαίνων καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.
(Λάκ.) οὐ μαὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὔ τέ γε Λάκων
τὰν βαίταν ἀπέδυσ' ὁ Κυλαιθίδος, ἢ κατὰ τήνας
τᾶς πέτρας, ὤνθρωπε, μανεὶς ἐς Κρᾶθιν ἁλοίμαν.
(Κομ.) οὐ μὰν οὐ ταύτας τὰς λιμνάδας ὠγαθὲ Νύμφας,
αἵτε μοι ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν,
οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.
(Λάκ.) αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
ἀλλ' ὦν αἴ κα λῇς ἔριφον θέμεν, ἔντι μὲν οὐδέν
ἱερόν, ἀλλ' ἄγε τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς.
(Κομ.) ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισεν. ἠνίδε κεῖται
ὥριφος· ἀλλ' ἄγε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ἔρειδε.
(Λάκ.) καὶ πῶς, ὦ κιναδεῦ, τάδε γ' ἔσσεται ἐξ ἴσω ἄμμιν;
τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεύσας
αἰγὸς πρωτοτόκοιο κακὰν κύνα δήλετ' ἀμέλγειν;
(Κομ.) ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις,
σφὰξ βομβέων τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔτι
ὥριφος ἰσοπαλής τοι, ἴδ' ὁ τράγος οὗτος, ἔρισδε.

**14** οὐ μὰν οὐ τὸν Valck, cf. XXVII 36 | σέ γε Codd, τέ γε Kiesslingius • **15** Καλαίθιδος Codd, Κυλαιθίδος Bechtelius coll. Herond. VI 50 • **16** ἐς La G, εἰς KA • **17** οὔτ' (οὐδ' AG) αὐτὰς Codd, οὐ ταύτας Reiskius • **18** αἵτε μοι La, αἵτ' ἐμὶν K Va (ἐμοὶ G) • **19** ἔκλεψα GP • **21** οὖν Pa Codd, ὦν Brun | ἐντὶ Codd, ἔστι Ahr • **22** ἀλλά γε Codd (ἀλλ' ἄγε W) • **23** ποκ' Codd (cum glossa πρὸς Q), ποτ' S sive Plan, unde Mo • **24** αλλ' αγε distincte Pa, ἀλλά γε Codd • **25** κιναδεῦ La, κίναδ' εὖ K Va, κινα[ Pa, κυνιδεῦ Eldikius, κίναδ'; οὐ incompta distinctione Gall | τάδε γ' KQW (τάγ' GP), τάδ' A | ἴσου Codd, corr. Briggsius | ἄμμιν La Va, ἁμῖν K • **27** πρωτοτόκοιο Pa Codd, πρατοτ. Ahr | δήλετ' K Va Q, βούλετ' PW | ἀμέλγειν Codd (-εν P), cf. 10 • **29** βομβεύων KGP, βομβέων QW, βομβῶν A | οὔτοι Codd, οὔτι S (Plan) • **30** τυ Codd, τοι Koehlerus.

Testim: **25** καὶ πῶς ὦ κίναδ' εὖ (γράφεται ὦ κιναδεῦ K)· Σικελιῶται τὴν ἀλώπεκα οὕτως *Σ*, adde κίναδος ἡ ἀλώπηξ *Σ*.





(Λάκ.) μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι. ἅδιον ᾀσῇ
τεῖδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
ψυχρὸν ὕδωρ τουτεὶ καταλείβεται, ὧδε πεφύκει
ποία, χἀ στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.
(Κομ.) ἀλλ' οὔτι σπεύδω, μέγα δ' ἄχθομαι, εἰ τύ με τολμῇς
ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα
παῖδ' ἔτι ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις ἐς τί ποχ' ἕρπει.
θρέψαι τοι λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.
(Λάκ.) καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας
μέμναμ'; ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.
(Κομ.) ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες· αἱ δὲ χίμαιραι
αἵδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.
(Λάκ.) μὴ βάθιον τήνω πυγίσματος ὗβε ταφείης.
ἀλλὰ γὰρ ἕρφ', ὧδ' ἕρπε, καὶ ὕστατα βουκολιαξῇ.
(Κομ.) οὐχ ἑρψῶ τηνεί· τουτεὶ δρύες, ὧδε κύπειρος,
ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο, ταὶ δ' ἐπὶ δένδρει
ὄρνιχες λαλαγεῦντι, καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνοις.
(Λάκ.) ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τῆδε πατησεῖς,

**32** τεῖδ' K Va (τῆδ' G), τεῖνδ' La • **33** τηνεῖ K Va QW, τουτεῖ $PQ^2$ (et E, non I) ut iam S Planudis, sed cf. 45 et 47 • **34** ἅδε K Va, ἄδε La • **37** παῖδ' ἔτ' KW (et N), παῖδά (τ') Cett | ἴδ' ἁ KA corr. Q corr., ἁ δ' αὖ La Va | ποθέρπει Codd, ποχ' ἕρπει Mein • **38** καὶ Codd (om. AP), τοι Mein (Her), κα Ahr | λυκιδεῖς $K^2$ QW, λυκαδεῖς $K^1$ Va (et P, sed λυκιδεῖς habent Exc. Barb.) | κύνας Codd, λύκος «lupos» Mein, κυνάς «o canis» Ahr • **39** ἐγὼν K et Apollon., ἐγὼ La Va | τεῦ Codd, τεῦς Apollon. et Bon • **41** τυ om. K • **42** κατεβλήχ. Codd, κατεβλάχ. Ahr • **44** βωκολιαξεῖς La Va, βουκ. KQ, βωκολιαξῇ S (sive Plan) • **45** τουτεὶ K La, τούτω Va | ὧδε K La, ἐνταῦθα Va | κύπειρος K Va, κύπειρον La • **46** σμήνεσσι K, cf. I 107 • **48** ὄρνιχες Codd (ὄρνιθες G ut Mo) | λαλεῦντι PW • **49** ὑψόθι Codd, ὑψόθε S (Plan) | κώνοις KGPQ, κώνους AW.

Testim: **34** τὸ δὲ ἅδε ἀντὶ τοῦ ὧδε τροπῇ Δωρικῇ τοῦ ω εἰς ᾱ *Σ* (La Va) • **39** Apollon. *De pron.* 96: καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθών.

αἴ κ' ἔνϑης, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
στασῶ δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος
ταῖς Νύμφαις, στασῶ δὲ καὶ ἀδέος ἄλλον ἐλαίω.
(Κομ.) αἰ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς
καὶ γλάχων' ἀνϑεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
δέρματα τᾶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνῶν.
στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.
(Λάκ.) αὐτόϑε μοι ποτέρισδε καὶ αὐτόϑε βουκολιάσδευ·
τὰν σαυτῶ πατέων ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε,
τίς κρινεῖ; αἴϑ' ἔνϑοι ποχ' ὁ βουκόλος ὧδ' ὁ Λυκώπας.
(Κομ.) οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι. ἀλλὰ τὸν ἄνδρα,
αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρίκας
τήνας τὰς παρὰ τὶν ξυλοχίσδεται· ἔντι δὲ Μόρσων.
(Λάκ.) βωστρέωμες.
(Κομ.) τὺ κάλει νιν.
(Λάκ.) ἴϑ' ὦ ξένε, μικκὸν ἄκουσον
τεῖδ' ἐνϑών· ἁμὲς γὰρ ἐρίσδομες, ὅστις ἀρείων
βουκολιαστάς ἐστι. τὺ δ' ὠγαϑὲ μήτ' ἐμὲ Μόρσων

52 κακώτερον KVa, χαλεπώτερον La • 53 κρατῆρα KP, κρητ. Cett • 55 αἰ δέ κα Va QW, αἰ δέ κε KP, αἴ κα Gall • 57 τᾶν K, τῶν omnes fere Cett | τετράκις La (et L²), πολλάκις KVa, utrumque fortasse Pu | ἀρνῶν Pu Codd • 59 ὀκτὼ KVa (et W), στασῶ PQ • 60 αὐτόϑε – αὐτόϑι KG, αὐτόϑε bis Va P, αὐτόϑι bis QW | βουκ. K, βωκ. La Va, ]λιασδευ Pu • 61 ἄμμε Pu Codd, ἀμὲ Ahr • 62 ποϑ' Codd, ποχ' Brun | βουκόλος K, βωκόλος omnes fere Cett | ὧδ' ὁ K, ὧδε La Va • 64 ἐρείκας Codd, ἐρίκας Wil • 65 ξυλοχίσδεται Codd (-ίζεται K¹P) | ἐντὶ La, ἔστι KVa • 66 βοστρέωμες (-εν) Va et V, βοστρέομες KLa (ο super ο W²) • 67 τεῖδ' K, τεῖνδ' La, τῆδ' Va | ἄμμες Codd, ἀμὲς Ahr | ἐρίσδομες La Va, sed -εν K et AP • 68 βωκολ. La | ὠγαϑὲ La, ὦ φίλε KVa.

Testim: 62 Propert. IV 3, 1 *Lycotam* (inde Calpurn. VI 26, VII 4) • 65 cf. XLI 4 et XLII 2, 1 Μύρσων.





ἐν χάριτι κρίνῃς, μήτ' ὦν τύ γα τοῦτον ὀνάσῃς.
(Κομ.) ναὶ ποτὶ τᾶν Νυμφᾶν, Μόρσων φίλε, μήτε Κομάτᾳ
τὸ πλέον ἰϑύνῃς, μήτ' ὦν τύ γα τῷδε χαρίξῃ·
ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα.
[Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα].
(Λάκ.) μή τύ τις ἠρώτη, πὸτ τῶ Διός, αἴτε Σιβύρτα
αἴτ' ἐμόν ἐστι, κάκιστε, τὸ ποίμνιον; ὡς λάλος ἐσσί.
(Κομ.) βέντισϑ' οὗτος, ἐγὼ μὲν ἀλαϑέα πάντ' ἀγορεύω,
κοὐδὲν καυχέομαι· τύ γα μὰν φιλοκέρτομος ἐσσί.
(Λάκ.) εἶα λέγ', εἴ τι λέγεις, καὶ τὸν ξένον ἐς πόλιν αὖϑις
ζῶντ' ἄφες. ὦ Παιάν, ἦ στωμύλος ἦσϑα Κομᾶτα.

(Κομ.) Ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδόν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔϑυσα.
(Λάκ.) καὶ γὰρ ἔμ' Ὡπόλλων φιλέει μέγα, καὶ καλὸν αὐτῷ
κριὸν ἐγὼ βόσκω· τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.
(Κομ.) πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
καί μ' ἁ παῖς ποϑορεῦσα 'τάλαν, λέγει, αὐτὸς ἀμέλγες;'
(Λάκ.) φεῦ φεῦ, Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
τυρῶ, καὶ τὸν ἄναβον ἐν ἄνϑεσι παῖδα μολύνει.
(Κομ.) βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα
τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάσδει.

72 Συβάρτα QW • 73 ante 72 K, delevit Wil • 74 ἠρώτῃ K, ἠρώτα La Va | Συβάρτα Q, Σιβάρτα corr. Σιβύρτα W • 76 βέλτισϑ' K | ἀγορεύω La, -εύσω KVa • 77 καυχέομαι Ccdd, καυχῶμαι S | γε μὰν La, δ' ἄγαν KVa, γα μὰν Wil (non H) • 80 Μῶσαι La • 81 ποκ' KLa, ποτ' Va • 85 ἀμέλγεις KP, -ες Cett, cf. IV 3 • 86 εἴκατι La, εἴκοτι KVa (-οσι AU) • 87 ἄναβον Codd, ἄνηβον Wil • 89 παρελᾶντα QU (et V et Gellius), -λεῦντα KA, -λαῦντα PW, -λῶντα GL.

Testim: 89 Gellius *Noct. Att.* IX 9, 5 τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάζει | Eustath. 565, 12 καὶ ἁδύ τι ποππυλιάσδει· τινὲς δὲ αὐτὸ παππυλιάσδει γράφουσιν, item παππαλιάσδει K corr.

(Λάκ.) κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
ἐκμαίνει, λιπαρὰ δὲ παρ᾽ αὐχένα σείετ᾽ ἔθειρα.
(Κομ.) ἀλλ᾽ οὐ σύμβλητ᾽ ἐστὶ κυνόσβατος οὐδ᾽ ἀνεμώνα
πρὸς ῥόδα, τῶν ἄνδηρα παρ᾽ αἱμασιαῖσι πεφύκει.
(Λάκ.) οὐδὲ γὰρ οὐδ᾽ ἀκύλοις ὀρομαλίδες· αἳ μὲν ἔχοντι
λεπτὸν ἀπὸ πρίνοιο λεπύριον, αἳ δὲ μελιχραί.
(Κομ.) κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν
ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεὶ γὰρ ἐφίσδει.
(Λάκ.) ἀλλ᾽ ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω
τὰν οἶν τὰν πελλάν, Κρατίδᾳ δωρήσομαι αὐτός.
(Κομ.) σίττ᾽ ἀπὸ τᾶς κοτίνω ταὶ μηκάδες· ὧδε νέμεσθε,
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.
(Λάκ.) οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος ἅ τε Κιναίθα;
τουτεὶ βοσκησεῖσθε ποτ᾽ ἀντολάς, ὡς ὁ Φάλαρος.
(Κομ.) ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρατήρ
ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.
(Λάκ.) κἠμίν ἐστι κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει,
ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.
(Κομ.) ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,
μή μευ λωβάσησθε τὰς ἀμπέλος· ἐντὶ γὰρ αὖαι.

**91** λιπαρ[α] ται (lege τε) κατ Pa | παρ᾽ αὐτόθι K • **93** πεφύκει Codd, φυλάσσει K[1], cf. I 47 • **94** ὀρομαλίδες Pa K La, ὀρυμαλίδες Va, ὁμομαλίδες $\Sigma^2$ (Asclepiades) • **97** ἀρκεύθου K Va • **101** ᾇτε Codd, αἵ τε Brubach. edit.[3] • **102** Κιναίθα K La, Κυναίθα Va • **103** ἀντολὰς La, ἀντλὰς K Va • **104** ἔστι (K Va, ἔντι La) δέ μοι Codd, ἔστιν ἐμὶν Gall | ἔντι δὲ κρητὴρ La • **106** χἀμῖν Codd, κἠμὶν Gall | ἐντὶ QW • **107** διώκεν AQ • **108** ὑπερπαδεῖτε K La (-ᾶτε P), -πηδῆτε Va (sed -ᾶτε L) | ἁμὸν La, ἐμὸν K Va • **109** λωβασῆσθε La Va, -εῖσθε K, corr. Mo, cf. I 152 | αὖαι Codd (ἄβαι QW), ἄζαι $\Sigma^2$, αὐταὶ $\Sigma^3$.

TESTIM: **94** ὀρομαλίδες· τὰ ὄρεια μῆλα, Ἀσκληπιάδης δὲ ὁμομαλίδες γράφει· ἔστι δὲ τὰ συνακμάζοντα τοῖς μήλοις σῦκα $\Sigma$ • **101** = I 13 • **107** cf. I 110 • **109** γράφεται καὶ ἄζαι· ἐν τοῖς ἀγγείοις γὰρ ἐπειδάν τι καταλειφθῇ ξηρανθέν, ἄζα λέγεται· γράφεται καὶ αὐταί, ἵν᾽ ᾖ μόναι $\Sigma$.





(Λάκ.) τοὶ τέττιγες ὁρῆτε, τὸν αἰπόλον ὡς ἐρεθίσδω·
οὕτω χὐμές θην ἐρεθίσδετε τὼς καλαμευτάς.
(Κομ.) μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίσδοντι.
(Λάκ.) καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.
(Κομ.) ἦ οὐ μέμνασ᾽, ὅκ᾽ ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρὼς
εὖ ποτεκιγκλίζευ καὶ τᾶς δρυὸς εἴχεο τήνας;
(Λάκ.) τοῦτο μὲν οὐ μέμναμ᾽· ὅκα μάν ποκα τεῖδέ τυ δήσας
εὐμαρέως ἐκάθηρα, καλῶς μάλα τοῦτό γ᾽ ἴσαμι.
(Κομ.) ἤδη τις Μόρσων πικραίνεται· ἢ οὐχὶ παραίσθευ;
σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλοις.
(Λάκ.) κἠγὼ μὰν κνίζω Μόρσων τινά, καὶ τὺ δὲ λεύσσεις.
ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν ἐς τὸν Ἅλεντα.
(Κομ.) Ἱμέρα ἀνθ᾽ ὕδατος ῥείτω γάλα, καὶ τὺ δὲ Κρᾶθι
οἴνῳ πορφύροις, τὰ δέ τοι σία καρπὸν ἐνείκαι.
(Λάκ.) ῥείτω χὰ Συβαρῖτις ἐμὶν μέλι, καὶ τὸ πότορθρον
ἁ παῖς ἀνθ᾽ ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.
(Κομ.) ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι

**110** ἐρεθίζω Codd, -ίσδω Med • **111** οὕτως La | χὐμὲς Pu KG, χὔμμες Cett (κὔμμες S) | ερεθισδετε Pu (et recentt.), -ίζετε Codd • **113** ραγισδοντι Pu, -ίζοντι Codd • **115** ὑπανέμιοι Pu La, ὑπην. K Va | φορέονται Pu K Va, ποτέονται La • **116** ἦ K Va (et Pu?), om. La | μέμνασ᾽ K La (μεμνησ᾽ Pu), μέμνᾳ Va | ὅτ᾽ Pu Codd, ὅκ᾽ Triclinianus R | ἐγὼν Pu QW, ἐγὼ K Va (et P) • **118** ὅκα μάν ποκα Pu La, ὅκα μὰν K, ὅκκα μὲν Va | τεῖδε Pu K, τεῖνδε La, τῆδε Va | δήσας KP, δάσας Va QW • **119** Εὐμάρας Codd, Εὐμαρίδας corr. Mein, εὐμαρέως Gall | ἐκάθηρε Pu Codd, ἐκάθαρε ex Michaelis Apostolii codice Ahr, ἐκάθηρα Gall • **120** ἢ οὐχὶ K, οὐχὶ La Va | παρῄσθευ Codd, παραίσθευ Ahr • **121** τίλλοις Codd (τίλλειν A cum S Mo et hic illic ut glossa) • **122** μὰν KL, μὲν omnes fere Cett • **123** ἐλθὼν K | νιν Codd, νυν A[2] et R | Ἄλεντα K La, Ἀλεῦντα Va • **127** τᾷ κάλπιδι K La, τὰν κάλπιδα Va • **128** κύτισον K La, κύτιλον Va.

TESTIM: **116** cf. Hom. O 18, ω 115 ἦ οὐ μέμνῃ ὅτε κτλ.

καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι κέονται.
(Λάκ.) ταῖσι δ' ἐμαῖς ὀίεσσι πάρεστι μὲν ἁ μελίτεια
φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κισθὸς ἐπανθεῖ.
(Κομ.) οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε
τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.
(Λάκ.) ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὄκ' αὐτῷ
τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλησεν.

(Μόρ.) οὐ θεμιτόν, Λάκων, ποτ' ἀηδόνα κίσσας ἐρίσδεν,
οὐδ' ἔποπας κύκνοισι· τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.
παύσασθαι κέλομαι τὸν ποιμένα. τὶν δὲ Κομᾶτα
δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
ταῖς Νύμφαις Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.
(Κομ.) πεμψῶ ναὶ τὸν Πᾶνα. φριμάσσεο πᾶσα τραγίσκων
νῦν ἀγέλα· κἠγὼν γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
κὰτ τῶ Λάκωνος τῶ ποιμένος, ὅττι ποκ' ἤδη
ἀνυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμμιν ἀλεῦμαι.
αἶγες ἐμαὶ θαρσεῖτε κερούτιδες· αὔριον ὔμμε

**129** σχῖνον **K La**, σχοῖνον **Pu Va** | κέοντι **K Va**, κέχυνται **QW**, κέονται **P** (ut **S**) • **131** κισσὸς **Codd**, κισθὸς **M** cum **Mo** • **132** ἐφίλησε **KP**, -λασε **Va QW** • **135** ὤρεξα **K Va** ($Q^2$), ἔδωκα **La** | ἐφίλησεν **KAP**, -λασεν **Cett** • **136** ἐρίσδεν **Codd** (-ειν **A Mo**) • **137** σὺ **K** • **139** τὺ δὲ **La** (τόδε **Q**) **Va** (τύ γε **L**), σὺ δὲ **K** • **140** Νύμφαις **K Va**, Μοίσαις **La** • **142** κἠγὼν γὰρ **K La**, κἠγὼ μὲν **Va** • **143** Λάκωνος **Pu Codd**, Λάμωνος **Gall**, cf. 2 | ὅττι **La Va**, ὧδε **K** (et $V^2$) • **144** τὸν **Pu Codd**, τὰν $K^2$ (cf. 149 et VIII 14, 15) | αμναν $Po^1$ | ὠρανὸν **K**, οὐρανὸν **La Va** | ὔμμιν **Pa Codd** • **145** κερουχίδες **Pu Codd**, κερούτιδες **Ahr** | ὔμμε **Pa Pu Codd**.

Testim: **131** ἔστι δὲ κισσὸς (scil. κισθός) εἶδος βοτάνης ἀνθοφορούσης ἐοικὸς ῥόδοις κατὰ τὸ ἄνθος Σ, κισθός ἐστιν εἶδος βοτάνης ἀνθώδους ἐοικυίας ῥόδοις· ἐν ἑτέροις δὲ ῥοδάκισσος γράφεται ἓν μέρος λόγου Σ(P) • **145** κερουχίδες αἱ κεροφόροι, κερουλίδες οὖλα κέρατα ἔχουσαι, κερουλκίδες αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι Σ.





πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι κράνας.
οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν' ὀχευσεῖς
τᾶν αἰγῶν, φλασσῶ τυ πρὶν ἤ γέ με καλλιερῆσαι
ταῖς Νύμφαις τὰν ἀμνόν. ὃ δ' αὖ πάλιν. ἀλλὰ γενοίμαν,
αἰ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

**146** κράνας **Pa K La**, λίμνας **Va** • **148** αἰγᾶν **Codd** (αἰγῶν **A** ut **S Planudis** et **Mo**) | φλασῶ **La Va**, φλασσῶ $K^2$ (et **H**, φιλάσσω $K^1$) | ἤ γ' ἐμὲ **Pu K Va W** (V), ἢ ἐμὲ **PQ** (et **R**, nam aberravit **W**), cf. VII 88 • **149** τὸν **La Va**, τὰν **K** • **150** φλάσσαιμι **K**, φλάσαιμι **La Va**.

Testim: **146** in papyro **Pu** λίμνας an κράνας legi possit, ambigitur; cf. Proleg. p. xxvi et Append. p. 300.

# VI

## ΘΕΟΚΡΙΤΟΥ

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ

Δαμοίτας χὠ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν ποκ', Ἄρατε, συνάγαγον· ἦς δ' ὁ μὲν αὐτῶν
πυρρός, ὁ δ' ἡμιγένειος· ἐπὶ κράναν δέ τιν' ἄμφω
ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
πρᾶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.
(Δάφ.) Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
καὶ τύ νιν οὐ ποθόρησθα, τάλαν τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων. πάλιν ἅδ' ἴδε τὰν κύνα βάλλει,
ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει
ἅσυχα καχλάζοντος ἐπ' αἰγιαλοῖο θέοισαν.

CODD: K, La (= PQW), Va (= AGL et U 1–38).
PAP: Po (28–30, 34–40).
TIT: Βουκολιασταὶ Δαμοίτας καὶ Δάφνις praemisso Δωρίδι Codd.

---

**1** χὠ KGLW, καὶ AUPQ | βουκόλος K, βωκόλος La Va • **4** ἑσδόμενοι Codd (ἑζόμενοι P) • **5** bis πρᾶτος scr. La Va, bis πρῶτος K • **7** καλοῖσα GQ (e glossematibus) • **9** ἅδ' ἴδε Codd (ἁδὶ P cum $\Sigma^{2}$) • **10** τᾶν La, τῶν K Va • **11** νιν K Va, μιν La • **12** καχλάζοντα Codd, καχλάζοντος S (Plan) et Bon (cum Σ?) | θέουσαν K.

---

TESTIM: **4** μεσούσης ἡμέρας ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους Σ (K) sive κατὰ τὸ μέσον τοῦ θέρους ὅτε τὰ κυνοκαύματα, subinde κατὰ τὸ μεσημβρινόν, ὃ τῆς ἡμέρας ὅλης καυματωδέστατόν ἐστιν Σ • **9** τινὲς χωρὶς τοῦ δε, ἐκτείνουσι δὲ τὸ ῑ, ἵνα ἀντωνυμία τυγχάνῃ δεικτική Σ (KG) • **11** γράφεται καὶ ῥαίνει, ἵνα νοῆται τὴν κύνα Σ (KL) • **12** αὐτὴν τὴν Γαλάτειάν φησιν ἐπιτρέχουσαν ἡσύχως κινουμένου τοῦ αἰγιαλοῦ [εἰς] τὴν θάλασσαν ἐμφανίζειν Σ (KG), at rursus μετωνυμικῶς ἀπὸ τῆς θαλάσσης γαλήνης πρὸς τὴν Γαλάτειαν τρέπεται Σ.





φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει,
καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον. ἦ γὰρ ἔρωτι
πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
τῷ δ' ἐπὶ Δαμοίτας ἀνεβάλλετο καὶ τάδ' ἄειδεν.
(Δαμ.) Εἶδον ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἁνίκ' ἔβαλλε,
κοὔ μ' ἔλαθ' οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧπερ ὁρημι
ἐς τέλος· αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων
ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάσσοι.
ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι,
ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀίοισα
ζαλοῖ μ', ὦ Παιάν, καὶ τάκεται, ἐκ δὲ θαλάσσας
οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.
σίξα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων
αὐτᾶς, ἐκνυζεῖτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.

**15** αὐτόθι Codd (αὐτόθε P) • **16** φρυγῇ Codd praeter φριγῇ W, φρυξῇ GP, (φλέγει QV), φρύγει S • **20** καὶ τάδ' ἄειδεν K Va, καλὸν ἀείδεν La • **22** κοὔ μ' ἔλαθ' La Va, κοὔτ' ἔλαθ' K | τὸν ἕνα La Va, ἕνα K (et L) | ᾧ ποθόρημαι Codd (-ρυμαι Q, -ρῶμαι SU, -ρῷμι Heinsius), ᾧπερ ὅρημι Fritz • **24** φέροιτο ποτ' La (et G ubi versus in mg. additus est), φέρει ποτὶ KA (φέρῃ ποτὶ L, φέροι ποτὶ $A^2L^2$U cum Mo) | φυλάσσοι KGQW, φυλάσσῃ P, φυλαξῇ ALU • **25** ποθόρημαι Codd (-ρημι A, -ρῶμαι SU) • **28** παπταίνουσα K et AP • **29** σῖγα vel σίγα aut σιγᾷ Codd, σίξα Ruhnkenius | ὑλακτεῖν La, -τεῖ K, ὑλακτεῖν νιν Va, ἐγὼ ὑλακτεῖν Gall, cf. 21, 25 • **30** ἐκνυζᾶτο Codd (-ζεῖτο P), -ζοῖτο $V^2$ et Σ (K) in lemmate, ἐκνυζῆτο S (sive Plan, ut Gregor. Cor. 79), cf. II 109 | ποτ' K Va, παρ' La.

---

TESTIM: **20** γράφεται καλὸν ἀείδειν Σ (K), sed cf. Hom. Σ 570, α 155, θ 266 • **26** Gregor. Cor. 153 ἰδίως λέγουσιν οἱ Σικελοὶ τὴν γυναῖκα γυνάν, cf. Etym. Magn. 243, 24; unde γυνὰν scr. Fritz • **29** τινὲς δὲ ὑλακτεῖν γράφουσιν, ἵν' ἐλλιπὲς ᾖ τὸ ἐπέτρεψεν· οἱ δὲ προστακτικὸν ὑλάκτει, ἵν' ᾖ· καὶ τῇ κυνὶ εἶπεν (εἶπον corr. Gall)· ὑλάκτει Σ | γράφεται σιγᾷ δ' ἅ τε κύων νιν ὑλακτεῖ, ἥσυχα δηλονότι Σ (K).

ταῦτα δ' ἴσως ἐσορεῦσα ποεῦντά με πολλάκι πεμψεῖ
ἄγγελον· αὐτὰρ ἐγὼ κλᾳξῶ θύρας, ἔστε κ' ὀμόσσῃ
αὐτά μοι στορεσεῖν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι·
ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον, ἧς δὲ γαλάνα,
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μοι ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν
[ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποκίωνι ποταύλει].
Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλησε,
χὼ μὲν τῷ σύριγγ', ὃ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας,
ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
νίκη μὰν οὐδάλλος, ἀνήσσατοι δ' ἐγένοντο.

**31** ἐσορεῦσα KVaW, -εῖσα Q, -οῖσα P | ποιεῦντα saepius scr. LaVa, ποεῦντα KQ corr. • **34** οὐδ' KVa, οὔτ' La • **35** γαλάνα LaVa, γαλήνα K • **36** δέ μοι KLa, δ' ἐμὶν Va • **41** om. K | πρὶν LaVa (= Codd), πρὰν S et Mo | Ἱπποκίωνα La, Ἱπποκόωντι Va, Ἱπποκίωνι M¹ ut Mo • **42** ἐφίλασε Codd (-λησε P) • **44** βούτας K, βώτας LaVa • **46** νίκη KVa, νίκα La | μὲν KLa, μὰν Va | ἀνήσσατοι K, ἀνάσσατοι LaVa.

Testim: **37** γράφεται δὲ καὶ τοῖς δέ τ' ὀδοῦσι, δοτικὴ ἀντὶ γενικῆς Σ • **41** = X 16.



# VII

## ΘΕΟΚΡΙΤΟΥ

## ΛΥΚΙΔΑΣ Η ΘΑΛΥΣΙΑ

Ἧς χρόνος ἁνίκ' ἐγών τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα
εἵρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας.
τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος
κἀντιγένης, δύο τέκνα Λυκωπέος, εἴ τί περ ἐσθλόν
χαῶν τῶν ἐπάνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυε κράναν
εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτάν
αἴγειροι πτελέαι τε εὔσκιον ἄλσος ὕφαινον
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.

Codd: K, La (= PQW), Va (= ALU).

Papp: Po (1–27, 44–57, 64–87, 90–92, 104–131, 134–145), Pu (4–13, 68–117), et fortasse in titulo Pa.

Tit: Λυκίδας ἢ Θαλύσια Etym. Magn. 273, 42 (Ἀμάραντος ὑπομνηματίζων τὸ εἰδύλλιον Θεοκρίτου, οὗ ἡ ἐπιγραφὴ Λ. ἢ Θ.), Θαλύσια PoK et Σ (in argum. VI et VII) et Σ (III 8, VI 2), Θαλύσια ἢ ἐαρινοὶ ὁδοιπόροι PQV (et Pa?), Θαλύσια ἢ ἐαρινὴ ὁδοιπορία Va.

**1** ἁνίκ' KLa, ἡνίκ' Va | εγων Po (et Bon, cf. 131), ἐγὼ Codd • **2** καὶ Po² KVa et Apollon., ται Po¹, δὲ La | ἄμμιν Codd, sed ἀμὶν GP ut Apollon., ἡμῖν A • **3** καὶ Codd (ὁ AG) • **4** ἐσθλὸν Codd, ἐσλὸν Med, cf. 12 et sqq. • **5** χαῶν Po Codd | ἔτ' ἄνωθεν Codd, ἐπ' ἄνωθεν Ald • **6** Βούριν(ν)αν KVa (et P cum Nicanore), Βούρειαν La (nam aberravit P, cf. enim Σ) | ἄνυε Codd (ἄνυσε P) • **7** ευ Po (iam Her), εὖ γ' Codd • **8** ἔφαινον Codd, ὕφαινον Heinsius.

Testim: **2** Apollon. *De pron.* 52, *De synt.* 127 σὺν καὶ τρίτος ἀμὶν Ἀμύντας δεόντως ἠξίωσάν τινες ὀρθοτονεῖν, scil. volebant non ἄμιν inclinatum, sed ἀμὶν orthotonumenon scribere ultima syllaba correpta, tamen ἄμιν scr. Ahr • **3** τὸ Λυκώπεος Αἰολικῶς προπαροξύνεται Σ (Va) • **6** Βούρεια δέ, ὅτι ἀπὸ κεφαλῆς βοὸς κτλ., Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων Βούριναν τὴν κρήνην καλεῖ Σ (PT) • **8** Verg. *Ecl.* IX 42 *lentae texunt umbracula vites.*

κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμὶν τὸ Βρασίλα κατεφαίνετο, καὶ τὸν ὁδίταν
ἐσλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
οὔνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος, οὐδέ κέ τίς μιν
ἀγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρὼς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς·
«Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνοντι;
ἦ μετὰ δαῖτ' ἄκλητος ἐπείγεαι ἤ τινος ἀστῶν
λανὸν ἔπι θρώσκεις; ὥς τοι ποσὶ νισσομένοιο
πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει».
τὸν δ' ἐγὼ ἀμείφθην· «Λυκίδα φίλε, φαντί τυ πάντες
εἶμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν
ἔν τ' ἀματήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει
ἁμέτερον, καί τοι κατ' ἐμὸν νόον ἰσοφαρίσδεν

**11** ἁμῖν distincte **Po** et **Codd** | τὸν **Codd** (τιν' **Q**²**W** cum **S** corr. et **Mo**) • **12** εσλον **Po** (et **Med**), ἐσθλὸν **Codd** | Μούσαισι **KP** • **13** οὔνομα **Po Pu Codd**, ὤνομα **Mo** | Λυκίδαν **K Va**, -ας **La** | μιν **Po Pu Codd**, νιν **Zieg** (et **Pu**¹) • **14** αγνοίησεν **Po**, ἠγνοίησεν **Codd** • **16** ποτόζον **Po**, -όσδον **Codd** • **21** τὺ **La Va** praeter σὺ **KP**, τὸ **GU** et Σ (Proleg. Aa) • **22** ἐν **K La**, ἐφ' **Va** • **23** οὐδ' **K Va** (ταὶ δ' **L**¹), αἱ δ' **La** | ἐπιτυμβίδιοι **K La**, -διαι **Va** | ἠλαίνονται **Codd**, -ντι **Bon** (et Galen. XI 37) • **24** δαῖτα κλητὸς **Codd**, δαῖτ' ἄκλ. Σ² **Bon** • **25** τοι **Codd**, τεῦ **Mo** (et **HR**) | νεισομενοιο **Po** et **Cal** • **28** ἔμμεν **Codd** (ἔμμεναι **AU**), εἶμεν **Hartungius**, ἦμεν **Wil**, cf. 86, 129 • **29** ἀμητήρεσσι **Codd**, ἀματ. **Zieg** • **30** ἰσοφαρίζειν **K**, -ζεν **P**, -σδεν **Cett**, cf. 94.

Testim: **18** γράφεται δὲ καὶ π λ ο κ ε ρ ῷ παρὰ τὴν πλοκὴν καὶ τὴν ὑφὴν Σ.





ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι
ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
ἀλλ' ἄγε δή, ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς,
βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὔτε Φιλίταν
ἀείδων, βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω».
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος ἁδὺ γελάσσας
«τάν τοι, ἔφα, κορύναν δωρύττομαι, οὕνεκεν ἐσσί
πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,
καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδόν
ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.
ἀλλ' ἄγε βουκολικᾶς ταχέως ἀρξώμεθ' ἀοιδᾶς,

**34** ἀλωὰν **K Va**, ἄλωνα **La** • **36** βουκολιασδώμε(σ)θα **Codd** • **39** Δᾶν **La Va**, γᾶν **K** (et **GHM**¹), cf. glossam μὰ τὴν γῆν • **40** οὐδὲ **KPW**, οὔτε **Va QW**² | Φιλητᾶν omnes fere **Codd**, corr. **Crönertius** • **42** γελάξας **Va QW**, -άσας **KPA**¹, -άσσας **S Planudis** et **Mo** • **43** δωρύττομαι **KQW**, δωρήσομαι **Va** (et **P**) • **44** ἀληθείᾳ **KPA** | πεπλασμένον **K Va** (-ος **Q**¹), κεκασμένος **PQ**² (-ον **WV**) • **46** Ὠρομέδοντος **Po Codd** (Εὐρυμ. **AU**² cum Σ³) • **47** ὅσοι ποτὶ Χῖον **K Va**, οἳ ποτὶ τὸν Χῖον **La** • **49** βωκολικᾶς **Codd**, βουκ. **HM** | ἀρξώμεθ' **KQW**, ἀρχώμεθ' **Va** (**P**).

Testim: **45** μισῶ καὶ τέκτονα, ὃς ἐρευνᾷ δόμον τελέσαι μέγεθος ἔχοντα τῆς τοῦ ὄρους κορυφῆς – ἢ ὄρος ἐν Κῷ ἀπὸ Ὠρομέδοντος τοῦ τῆς Κῶ βασιλεύσαντος Σ, τοῦ ὄρους τοῦ ὑψηλοτάτου, τοῦ τῶν ὀρῶν μέδοντος τῷ ὕψει – ἢ Ὠρομέδοντά φησι τὸν Πᾶνα κτλ. Σ (Va), γράφεται Εὐρυμέδων, ἵν' ᾖ ὁ Περσεὺς παρὰ Ἀργείοις Σ (K).

Σιμιχίδα· κἠγὼ μέν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
τοῦθ᾽ ὅ τι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.

(Λυκ.) Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μυτιλήναν,
χὤταν ἐφ᾽ ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
κύματα, χὠρίων ὅτ᾽ ἐπ᾽ ὠκεανῷ πόδας ἴσχει,
αἴ κα τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας
ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.
χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν
τόν τε νότον τόν τ᾽ εὖρον, ὃς ἔσχατα φυκία κινεῖ,
ἀλκυόνες, γλαυκαῖς Νηρηΐσι ταί τε μάλιστα
ὀρνίχων ἐφίληθεν ὅσοις τέ περ ἐξ ἁλὸς ἄγρα.
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μυτιλήναν
ὥρια πάντα γένοιτο, καὶ εὔπλοος ὅρμον ἵκοιτο.
κἠγὼ τῆνο κατ᾽ ἆμαρ ἀνήτινον ἢ ῥοδόεντα
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ,
χἀ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ᾽ ἐπὶ πᾶχυν
κνύζᾳ τ᾽ ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς μεμναμένος Ἀγεάνακτος
αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.

**50** τοι K Va Q, τι P, τι κ᾽ W | ἀρέσκοι W • **52** ἐς Codd (εἰς P) • **52** et **61** Μιτυλήναν K, -άναν plerumque scr. La Va, Μυτιλ. Fritz Mein • **54** ἴσχῃ Codd (-ει $Q^{1}$ S) • **55** αἴκεν Codd, αἴ κα Wil • **56** ῥύηται K • **57** τήν τε KPA • **59** ταί τε Codd, ταὶ τὰ Cal • **60** ἐφίλαθεν Codd (-ληθεν G) | ὅσαις Codd, ὅσοις Gowius, cf. XXXII 2 • **62** εὔπλοον Codd, corr. Schaeferus • **63** ἦμαρ KP • **64** περὶ K$Q^{1}$GU, παρὰ La AL | κρατῆρος Po KP, κρητ. Cett • **68** πολυγνάπτῳ La Va • **69** μεμνημένος Codd (μεμναμ. WV).

Testim: **62** τὰ ὤρια ἤγουν τὰ διὰ φροντίδος αὐτῷ, ἢ ὤρια… ἀντὶ τοῦ φυλακτικὰ ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω Σ (Va).





αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
εἷς δὲ Λυκωπείτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
χὠς ὄρος ἀμφεπονεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ᾽ ὄχθαισιν ποταμοῖο,
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ᾽ Αἶμον
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.
ᾀσεῖ δ᾽ ὥς ποκ᾽ ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα κακαῖσιν ἀτασθαλίαισιν ἄνακτος,
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
ὦ μακαριστὲ Κομᾶτα, τύ θην τάδε τερπνὰ πεπόνθεις,
καὶ τὺ κατεκλᾴσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας.
αἴθ᾽ ἔτι μοι ζωοῖς ἐναρίθμιος ὤφελες ἦμεν·
ὥς τοι ἐγὼν ἐνόμευον ἀν᾽ ὤρεα τὰς καλὰς αἶγας
φωνᾶς εἰσαΐων, τὺ δ᾽ ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατεκέκλισο, θεῖε Κομᾶτα».

**71** μοι δύο Po Pu K La, δοιὼ Va • **72** Λυκωπειτας Po, -πίτας Pu Codd • **73** τᾶς Ξενέας Po Codd (τᾶς Ξενίας P, τα Ξανές Pu), vide Σ | βώτας La • **74** ἀμφεπονεῖτο Po Pu K (et $P^{1}$ G), -λεῖτο La Va • **75** αἵτε φύοντι Codd, αιτ᾽ εφυοντο Po Pu | ὄχθαισι(ν) La Va, ὄχθῃσι K (-σιν S) • **76** κατετάκετο Pu Codd (κατατ. P), κατατ[ Po (num κατατ[άκεται ἄκρον ? Gall, cf. XII 9) • **77** ἐσχατόωντα Pu Codd (-τόεντα Q et Mo) • **78** ποκ᾽ Pu Codd, ποτ᾽ Po • **79** κακαισιν ατασθαλιησιν Po Pu, -αῖσιν -λίαισιν $Po^{2}$ KP, -ῇσιν -λίῃσιν Cett • **80** νιν Pu Codd • **82** οὕνεκα et Μοῖσα Pu Codd • **85** ἐξεπόνασας Po Codd, -νησας Pu, ἐξετέλεσσας $Q^{1}$ W et M cum recc. • **86** ἐπ᾽ ἐμοὶ Pu Codd (ἐπ᾽ ἐμεῦ GP), ἔτι μοι Gall | ημεν Po Pu (ut Mo), εἶμεν K, εἶμες La, ἦμες Va • **88** η γ᾽ υπο Pu, ἢ ὑπὸ Codd, cf. ad 7 et V 148 et VIII 30 • **89** κατακέκλισο Va $Q^{2}$ V.

Testim: **73** γράφεται τᾶς ξανθᾶς Σ, μία τῶν Νυμφῶν ἡ Ξενία Σ (PT) • **88** Anth. IX 136 ὡς κεν ὑπὸ πτελέῃσι καθήμενος ἢ ὑπὸ πέτρης συρίζων καλάμοισιν κτλ., cf. VIII 55; unde pro πεύκαις (quod habet Pu quoque) voluit πέτραις Mein.

Χὣ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μέτ' αὖθις
κἠγὼν τοῖ' ἐφάμαν· «Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
ἐσθλά, τά που καὶ Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα,
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρεν
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.

(Σιμ.) Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλός
τόσσον ἐρᾷ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἔραντι.
ὤρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ἀείδεν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.
τόν μοι, Πάν, Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
εἴτ' ἔστ' ἄρα Φιλῖνος ὁ μαλθακὸς εἴτε τις ἄλλος.
κεἰ μὲν ταῦτ' ἔρδοις, ὦ Πὰν φίλε, μήτι τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους
τανίκα μαστίζοιεν, ὅτε κρέα τυτθὰ παρείη·
εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι

**90** ἀπεπαύσατο Po Pu La Va, ἀνεπ. K | αὖθις Codd, αὖτις Ahr, cf. 156 • **91** κἠγὼν Pu K Va P, κἠγὼ QW • **92** κημ' εδιδ. signavit Pu | εν ωρεσι Pu, ἀν' ὤρεα Codd, cf. 87, 111 • **93** ἐσθλὰ Codd, cf. 12 | Ζηνὸς KAU, Ζανὸς La L • **94** ᾧ τυ γεραίρεν Codd, ὅττι γ' ἀείδειν Mo, incertum quid habuerit Pu • **97** ἔραντι K La, -νται Va • **98** Ἄρατος Pu Codd, Ὤρατος S Planudis et Mo • **101** παρὰ K Va, περὶ La • **102** ὀστέον Pu Codd • **103** Ὁμόλας Pu Codd (Ὁμόλω P$Q^{2}$) • **104** κείνοιο Po Pu Codd (τήνοιο S) • **105** εἴτ' ἔστ' ἄρα Φιλ. Po Pu Codd (εἴτε Φιλ. ἄρ' ἐστιν S) • **106** κεἰ Pu et W (V) ut S, κἢν K Va PQ | ταῦτ' Po K et omnes fere Cett, ταῦθ' Pu Q, cf. II 15 | μητι συ Pu et K, μήτι τυ La, μήτε τι Va • **107** ὤμους Po Codd, -ως Valck • **108** μαστιζοιεν Po Pu, -σδοιεν Codd • **109** νεύσαις Po La Va, -σεις K.

Testim: **90** cf. I 138 • **107** ὤμως voluit Valck, at vide sis Hom. Ψ 716.





δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις,
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν τετραμμένος ἐγγύθεν ἄρκτω,
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
ὔμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
νᾶμα καὶ Οἰκοῦντα, ξανθᾶς ἕδος αἰπὺ Διώνας,
ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ,
καὶ δὴ μᾶλ' ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες
αἰαῖ, φαντί, Φιλῖνε τό τοι καλὸν ἄνθος ἀπορρεῖ.
μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν, Ἄρατε,
μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
κοκκύζων νάρκαισιν ἀνιαραῖσι διδοίη,
εἷς δ' ἀπὸ τᾶσδε, φέριστε, Μόλων ἄγχοιτο παλαίστρας.
ἄμμιν δ' ἁσυχία τε μέλοι γραία τε παρείη,
ἅτις ἐπιφθύζοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι».
Τόσσ' ἐφάμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας
ὡς πάρος, ἐκ Μοισᾶν ξεινήιον ὤπασεν εἶμεν.

**111** ωρεσι Pu (LQ), οὔρεσι omnes fere Codd • **112** Ἕβρον Po (et SU), εὖρον Codd | ]ρω παρ ποταμω $Pu^{2}$ (dativum iam voluit Wuestemannus) | τετραμμένος K Va ($Q^{2}$), κεκλιμένος La ($K^{2}$) | ἄρκτου Codd, -τω S • **115** ὔμμες Pu Codd (et Po ?) • **116** Οικου]ντα Pu (?, ita iam Heckerus), Οἰκεῦντα S Planudis ex Σ (K), οἰκεῦντες Codd • **120** μάλ' K La, μὰν Va, μᾶλ' Mein • **122** φρουροῦμες Va • **124** κοκκυζων Po (et P), -ύσδων Codd, cf. 48, 108 | νάρκησιν Codd, -αισι S et recc. | ανιαραισι Po (et SP), ἀνιηραῖσι K, -ῇσι Cett • **125** ἀπὸ Po K (MN$Q^{2}$), ὑπὸ Va, ἐπὶ La • **127** ἐπιφθύζουσα K Va (P), -σδοισα QW • **128** τόσσ' K Va ($Q^{2}$), ὣς La | γελάξας Codd, -σσας S Mo $U^{2}$ • **129** εἶμεν K La, ἦμεν Va.

Testim: **112** cf. Dionys. Perieg. 130 τετραμμένος αὖθις ἐπ' ἀρκτοὺς, tamen τεθραμμένον corr. Ber, τετραμμένον Köhlerus coll. Dionys. Perieg. 299 Ἴστρος ἐς ἀντολίην τετραμμένος ἄχρι θαλάσσης.

χὡ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας
εἷρφ' ὁδόν, αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
στραφθέντες χὡ καλὸς 'Αμύντιχος ἔν τε βαθείαις
ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυζε.
τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν αἰθαλίωνες
τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
τηλόθεν ἐν πυκιναῖσι βάτων τρύζεσκεν ἀκάνθαις.
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,
πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρας.
ὄχναι μὲν πὰρ ποσσί, παρὰ πλευραῖσι δὲ μᾶλα
δαψιλέως ἁμὶν ἐκυλίνδετο, τοὶ δ' ἐκέχυντο
ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε·
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,

**131** εἷρφ' La Va, ἦρχ' K | ἐγὼ KP, cf. 1 • **132** στραφθέντες K, -φέντες La Va • **133** σχοίνοιο KP, σχίνοιο Cett | χαμευνῆσιν itacismi causa omnes fere Codd | ἐκλίνθημες K Va, ἐκλίθ. La • **134** οἰναρέοισι Codd (-αισι L et Mo, -ησι S) • **135** ἄμμιν Codd, ἁμὶν Eustath. • **136** τὸ τ' PQ² • **137** κελάρυσδε AQ • **138** σκιαραῖς La, σκιεραῖς K Va • **140** πυκινῆσι Codd (-αῖσι H) • **143** ὀπώρας KP, -ρης Cett • **144** μὲν πὰρ KQW, μὲν παρὰ plene sive per compendium P Va | πλευραῖσι KP, -οῖσι QW, -ῆσι Va • **145** ἁμῖν K, ἄμμιν La Va • **146** βραβύλοισι Codd praeter βραβίλ. Q et Athen., cf. XII 3 | ἔρασδε Codd, ἔραζε Athen. Etym.

Testim: **135** Eustath. 1112, 35 Δωριεῖς δὲ ἁμίν, συστέλλοντες τὸ ῑ καὶ ὀξύνοντες· Θεόκριτος· πολλοὶ δ' ἁμὶν ὕπερθε κ. κ. δ. • **146** Athen. II pp. 49–50 Κλέαρχος δ' ὁ περιπατητικός φησι 'Ροδίους καὶ Σικελιώτας βράβυλα καλεῖν τὰ κοκκύμηλα, ὡς καὶ Θεόκριτος ὁ Συρακούσιος· ὄρπηκες βραβίλοισι κ. ἔραζε, καὶ πάλιν [XII 3]· ὅσον μῆλον βραβίλοιο ἥδιον, Etym. Magn. 211, 5 ὄρπακες βραβήλοισι κ. ἔραζε (cf. Hesych. βράβυλος et Suda βράβηλα).





ἆρά γέ πᾳ τοιόνδε Φόλω κατὰ λάινον ἄντρον
κρατῆρ' 'Ηρακλῆι γέρων ἐστάσατο Χίρων;
ἆρά γέ πᾳ τῆνον τὸν ποιμένα τὸν ποτ' 'Ανάπῳ,
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
τοῖον νέκταρ ἔπεισε κατ' αὐλία ποσσὶ χορεῦσαι,
οἷον δὴ τόκα πῶμα διεκρανάσατε Νύμφαι
βωμῷ πὰρ Δάματρος ἁλωίδος; ἇς ἐπὶ σωρῷ
αὖτις ἐγὼ πάξαιμι μέγα πτύον, ἁ δὲ γελάσσαι
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέραισιν ἔχοισα.

**150** κρατῆρ' KP, κρητῆρ' Cett | ἐστήσατο KP • **152** λᾶας Codd, νᾶας Heinsius • **154** διεκρανάσατε K La, -νώσατε Va et Etym. • **155** ἁλωίδος K La, ἁλωάδος Va • **156** αὖτις K La, αὖθις Va | γελάσ(σ)αι K La, -άσευ Va • **157** ἀμφοτέρῃσιν KAU (et P¹, sic enim habent et G et Exc. Barb.), -οισιν LQW, -αισιν S et P corr.

Testim: **154** Etym. Magn. 273, 39 s. v. διεκρανώσατε ex Amaranti commentario etymologiam affert.

# VIII

## [ΘΕΟΚΡΙΤΟΥ]

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι
μᾶλα νέμων, ὡς φαντί, κατ᾽ ὤρεα μακρὰ Μενάλκας.
ἄμφω τώγ᾽ ἤστην πυρροτρίχω, ἄμφω ἀνήβω,
ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
πρᾶτος δ᾽ ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
« μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
φαμί τυ νικασεῖν, ὅσσον ϑέλω, αὐτὸς ἀείδων ».
τὸν δ᾽ ἄρα χὠ Δάφνις τοιῷδ᾽ ἀπαμείβετο μύϑῳ·
« ποιμὴν εἰροπόκων ὀίων, συρικτὰ Μενάλκα,
οὔ ποκα νικασεῖς μ᾽, οὐδ᾽ εἴ τι πάϑοις, τύγ᾽ ἀείδων ».
(Μεν.) χρῄσδεις ὦν ἐσιδεῖν; χρῄσδεις καταϑεῖναι ἄεϑλον;
(Δάφ.) χρῄσδω τοῦτ᾽ ἐσιδεῖν, χρῄσδω καταϑεῖναι ἄεϑλον.
(Μεν.) καὶ τίνα ϑησεύμεσϑ᾽, ὅστις κέ μοι ἄρκιος εἴη;

Codd: K, La (= PQW), Va (= ALNU).
Pap: Po (1–6, 9–16, 29–32, 56–65, 70–85).
Tit: Βουκολιασταί adiectis personis Δάφνις καὶ Μενάλκας Codd.
Avct: Theocrito abiudicavit Valck (Her, Brinker, Wil, Perrotta).

**1** συνήντετο Codd, συνάντ. Wil • **3** ἤστην K Va (ἤσϑην AQ$^2$), ἤτην La | πυρροτρι]χι (scil. -χοι?) Po | ἀνάβω Codd, ἀνήβω Wil, cf. 93 • **5** πρᾶτος Po La, πρῶτος K Va • **9** ποιμὰν Codd (ποιμὴν P) • **10** οὔποτε Codd, ουκα[ suprascripto ut videtur π[ο Po, οὔ ποκα Gall | τι πάϑοις Va, τι πάϑῃς QW, παϑέοις K(P) • **11 et 12** χρῄσδεις et χρῄσδω Codd, χρηζεις et χρηζω Po | ὦν K La, δ᾽ ὦν Va • **13** καὶ τίνα Codd (και servavit et Po, καί τι erasa una syllaba nunc A, ἀλλά τι Q in ras. ut Mo) | χ᾽ ἁμῖν K Va, ἁμῖν La, κέ μοι Mein (nunc fortasse κ]εμ[οι Po potius quam ὅ κ]εν [ἁμῖν ut Mo).

Testim: **10** metri causa cf. XVIII 15, XXIV 102, et Proleg. p. lx.





(Δάφ.) μόσχον ἐγὼ ϑησῶ, τὺ δὲ ϑὲς ἰσομάτορα ἀμνόν.
(Μεν.) οὐ ϑησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπὸς ὁ πατήρ μευ
χἀ μάτηρ, τὰ δὲ μᾶλα ποϑέσπερα πάντ᾽ ἀριϑμεῦντι.
(Δάφ.) ἀλλὰ τί μὰν ϑησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν;
(Μεν.) σύριγγ᾽ ἂν ἐπόησα καλὰν ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν ἴσον κάτω ἶσον ἄνωϑεν·
ταύταν κα ϑείην, τὰ δὲ τῶ πατρὸς οὐ καταϑησῶ.
(Δάφ.) ἦ μάν τοι κἠγὼ σύριγγ᾽ ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν ἴσον κάτω ἶσον ἄνωϑεν.
πρώαν νιν συνέπαξ᾽· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
τοῦτον, ἐπεὶ κάλαμός με διασχισϑεὶς διέτμαξεν.
(Μεν.) ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;
(Δάφ.) τῆνόν πως ἐνταῦϑα τὸν αἰπόλον ἦν καλέσωμες,
ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.
χοὶ μὲν παῖδες ἄυσαν, ὁ δ᾽ αἰπόλος ἦνϑ᾽ ἐπακούσας,
χοὶ μὲν παῖδες ἀείδεν, ὁ δ᾽ αἰπόλος ἤϑελε κρίνειν.
πρᾶτος δ᾽ ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας,
εἶτα δ᾽ ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδὰν
βουκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος.

(Μεν.) ἄγκεα καὶ ποταμοί, ϑεῖον γένος, αἴ τι Μενάλκας
πήποχ᾽ ὁ συρικτὰς προσφιλὲς ᾆσε μέλος,
βόσκοιτ᾽ ἐκ ψυχᾶς τὰς ἀμνάδας· ἦν δέ ποκ᾽ ἔνϑῃ

**14** ϑὲς K Va (ϑές γ᾽ U cum Mo), ϑές τ᾽ La • **15** χαλεπὸς Codd (χαλεπός ϑ᾽ U cum Mo) • **16** μήτηρ K • **18** ἐπόησα KQ, -οίησα Cett • **19** ἔχουσαν K • **19 et 22** καρὸν Codd (praeter κηρὸν P) • **20** κατ(α)ϑείην Codd, κα ϑείην Ahr • **23** συνέπηξ᾽ K Va • **24** με K La, γε Va, ἑ Graefius | διέτμαξεν Codd, νιν ἔτμαξεν Mein • **25** ἁμέων La, ἡμέων K, ἡμῶν Va • **28** ἄεισαν K | ἐπακούσας La, -κοῦσαι K Va (Q$^1$) • **29** ἄειδον Codd, corr. Schneiderus | κρῖναι Va • **30** πρᾶτος K La, πρῶτος Va | ὦν Codd, ο]υν γ᾽ Po | ἰυκτὰ K, ἰυκτὰς La Va • **31** ἀμοιβαίαν KP, -ην Cett • **32** βουκολ. K, βωκολ. La Va • **33** ἄγκεα K Va, ἄγγεα La • **34** συριγκτὰς KLW, συρικτὰς Cett, cf. 9 (ubi συριγκτὰ K).

Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.
(Δάφ.) κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
τεῖδ' ἀγάγῃ, χαίρων ἄφϑονα πάντα νέμοι.
— παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος
οὔϑατα πιδῶσιν, καὶ τὰ νέα τρέφεται,
ἔνϑ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
χὠ ποιμὴν ξηρὸς τηνόϑι χαἰ βοτάναι.
— ἔνϑ' ὄϊς, ἔνϑ' αἶγες διδυματόκοι, ἔνϑα μέλισσαι
σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
ἔνϑ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.
— ὦ τράγε, τᾶν λευκᾶν αἰγῶν ἄνερ, ᾇ βάϑος ὕλας
μυρίον (ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι),
ἐν τήνῳ γὰρ τῆνος, ἴϑ' ὦ κόλε καὶ λέγε· Μίλων,
ὁ Πρωτεὺς φώκας καὶ ϑεὸς ὢν ἔνεμεν.
(Μεν.) μή μοι γᾶν Πέλοπος, μή μοι Κροίσεια τάλαντα

**37** γλυκερὰ φυτὰ **AP** • **38** μουσίσδοι (-ίζοι **P**) **Codd**, tamen μουσίσδει **AUW** • **39** πιαίνετε **KLaL**, ποιμαίνετε **ANU** • **40** τεῖδ' **K**, τεῖνδ' **P**$Q^2$, τῆδ' **VaQW** | ἀγάγοι **Codd**, ἀγάγῃ **S** sive **Plan** • **41-48** hoc ordine **Codd**, sed 41–43 et 45–47 inter se commutandos esse censuit anonymus • **41** νομοὶ **KVa**, νομαὶ **La** • **42** πηδῶσιν **KVa**($Q^1$), πλήϑουσιν **La**, legit **Ahr** • **43** ἁ καλὰ παῖς **Codd**, καλὰ Ναῒς **Mein** • **44** ποιμὴν **KP**, ποιμὰν **Cett** | χαἰ βοτάναι **Codd**, καὶ τὰ βοτὰ **Mein** • **46** σμήνεα **KP**, σμάνεα **Cett** | πληροῦσιν **KVa**, πλαρεῦντι **La** | ὑψίτεραι **KP**, ὑψότεραι **Cett** • **49** αἰγᾶν ἄνερ **KVa**, ἄνερ αἰγᾶν **La**, αἰγῶν ἄνερ **S** sive **Plan** | ὦ **Codd** (ὧ $Q^2$), ὡς **Reiskius**, ᾇ **Gall** • **50** ὦ **Codd**, αἱ **Wil** • **51** κόλε **Codd** (βουκόλε $K^1$), καλὲ cum vocativo Μίλων coniungendum coniecit **Petitus** | Μίλωνι $K^1$**LW**, Μίλων **K** corr. **NP**, Μίλῳ **Cett**, cf. $\Sigma$ • **52** ὡς **Codd**, ὁ **Mein** • **53** χρύσεια **Codd**, Κροίσοιο **Piersonus**, Κροίσεια **Iortinus**.

Testim: **51** Μίλῳ δὲ εἶπεν ἀντὶ τοῦ Μίλωνι, καὶ γὰρ τὴν εὐϑεῖαν οὐχ ὁ Μῖλος ἔφη [in v. 47], ἀλλ' ὁ Μίλων $\Sigma$ (Va) • **52** cf. Hom. Hymn. *in Pan.* 32 ἔνϑ' ὅγε καὶ ϑεὸς ὢν ψαφαρότριχα μῆλ' ἐνόμευεν.





εἴη ἔχειν, μηδὲ πρόσϑε ϑέειν ἀνέμων·
ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελὰν ἐς ἅλα.
(Δάφ.) δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός,
ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρϑενικᾶς ἁπαλᾶς πόϑος. ὦ πάτερ ὦ Ζεῦ,
οὐ μόνος ἠράσϑην· καὶ τὺ γυναικοφίλας.

Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν,
τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας.
(Μεν.) Φείδευ τᾶν ἐρίφων, φείδευ λύκε τᾶν τοκάδων μευ,
μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλοῖσιν ὁμαρτέω.
ὦ Λάμπουρε κύων, οὕτω βαϑὺς ὕπνος ἔχει τυ;
οὐ χρὴ κοιμᾶσϑαι βαϑέως σὺν παιδὶ νέμοντα.
ταὶ δ' ὄϊες μηδ' ὔμμες ὀκνεῖϑ' ἁπαλᾶς κορέσασϑαι
ποίας· οὔτι καμεῖσϑ' ὅκκα πάλιν ἅδε φύηται.
σίττα νέμεσϑε νέμεσϑε, τὰ δ' οὔϑατα πλήσατε πᾶσαι,

**56** τὰν Σικελικὰν **KQW**, τὰν Σικελὰν **PVa** | propter huius versus μᾶλα Menalcae pastori tetrastichum vindicavit **Vossius**, et Daphnidis tetrastichum post v. 52 excidisse putavit **Wuestemannus** aut vv. 49–52 ut spurios proscripsit **Gall** • **57-60** **Po Codd**, interpolatos habuit **Her**, octo versuum lacunam ante v. 57 indicavit **Fritz** • **58** ὕσπληγξ **KP**, ὕσπλαγξ **Cett** • **59** ἁπαλᾶς **PoLaVa**, ἁπαλὸς **K** • **63** τᾶν bis **KLa**, τῶν bis **Va** • **64** ὁμαρτέω **KQW**, ὁμαρτῶ **PVa** • **65** κύων **LaVa**, κύον **K** • **67** ὀκνῆϑ' **K** corr. **QW**, ὀκνᾶϑ' **Va**, ὀκνῆσϑ' $K^1$, ὀκνεῖσϑ' **P**, ὀκνεῖϑ' **S** sive **Plan** • **68** καμῆσϑ' **LaL**, καμᾶϑ' **ANU**, καμοῖσϑ' **K**, καμεῖσϑ' **Mo**.

Testim: **55** ἅδομαι pro ᾄσομαι legisse videtur $\Sigma$, nam αὐτάρκης τις ὁ Δάφνις ἥδεται ἐν ταῖς ἀγκάλαις ἔχων τὸν ἐρώμενον ὑπὸ τῇ πέτρᾳ $\Sigma$(K), et ἀλλ' εὐφραίνομαί σε ἐν ταῖς ἀγκάλαις ἔχων ὑπὸ τῇδε τῇ πέτρᾳ $\Sigma$ (La) • **57-60** cognovit fortasse Verg. *Ecl.* III 80 ***triste lupus stabulis, maturis frugibus imber, arboribus venti, nobis Amarillidis irae;*** cf. Callim. *Epigr.* 52 (*Anth.* XII 230), Asclep. *Anth.* V 167, 169 | Daphnidi tetrastichum vindicavisse videtur Eratosth. *Anth.* VI 78, 2 Δάφνι γυναικοφίλα • **63** Stob. *Flor.* IV 24, 47 φείδευ τῶν ἀρνῶν, φείδευ λύκε τῶν ἐρίφων μευ (μηδὲ ἀδικῇς μ' ὅτι μικρὸς κτλ.), memoriae fortasse vitio ex Hom. Λ 352 ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισιν et ι 220 ἀρνῶν ἠδ' ἐρίφων.

ὡς τὸ μὲν ὤρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀποθῶμαι.
δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν.
(Δάφ.) Κἠμὲ γὰρ ἐκ τὤντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
τὰς δαμάλας παρελᾶντα καλὸν καλὸν ἦμεν ἔφασκε.
οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα,
[ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς,]
ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βουκόλῳ αἱ βόες αὐταί.

ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
« ἁδύ τι τὸ στόμα τοι καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά.
κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχειν.
λάσδεο τᾶς σύριγγος· ἐνίκασας γὰρ ἀείδων.

**70** ἔχοντι Codd, corr. Mo • **71** αὖ La Va, δ' αὖ K • **72** κἄμ' (κἤμ' HV[2]) ἐκ τῶ ἄντρω (τὤντρω PW) Codd, corr. Valck | σύν. κόρα ἐχθὲς Po K Va (Q), σύν. ἁ παῖς W, ἡ παῖς σύν. P • **73** παρελᾶντα Po La, -λεῦντα K, -λαῦντα Va (sed -λῶντα L ut S[2] Mo) | ἦμεν K (-ες Va), εἶμεν (-ες) La • **74** λόγον Po Va QW, λόγων KP | ἄπο scrips. Po Codd, cf. Σ | τὸν K Va (et P), τὸ QW, cf. Σ, τοσσίχον αὐτᾷ Pohlenzius • **75** ἡμετέραν K • **76** ἁδέα K • **77** habent Po Codd, respuit Valck • **78** αἰθριοκοιτῆν K, -εῖν P, -ᾶν Cett • **80** ἁ μόσχος K corr. La, ὁ μ. K[1] Va | βουκολ[ω Po, βωκόλῳ Codd • **83** τευ Pa corr. Codd, νιν Pa[1] | λείχειν K Va, λείχεν La • **84** λάσδεο Codd (λάζεο P) | τὰς σύριγγας Codd, corr. Scaligerus | ενίκᾶσας distincte Po (et M), ἐνίκησας Codd.

Testim: **74** ἀλλ' οὐδὲ λόγον αὐτῇ ἀπεκρίθην, οἷον οὐδὲ τὸ τυχόν. δοκεῖ δὲ τὸ ἔπος ἡμαρτῆσθαι ἐνταῦθα [scil. in τὸ πικρόν]· ἔνθεν οἱ μὲν γράφουσιν οὐδὲ λόγον ἐκρίθην ἄτοπον, πικρὸν αὐτᾷ, τουτέστιν οὐδὲ σκαιὸν λόγον ἀπεκρινάμην αὐτῇ, οὔτε τῶν πρὸς τὸ λυπηρὸν οὔτε τῶν πρὸς ἡδονὴν Σ (K), nec non ὅπερ, τὸ μὴ ἀποκρίνεσθαί με, πικρὸν ἦν αὐτῇ. τινὰ δὲ τῶν ἀντιγράφων τὸν πικρὸν ἔχουσιν, ἵν' ᾖ· οὐ μὴν οὐδὲ ἀπεκρίθην αὐτῇ οὐδὲν πικρὸν ὧν λέγεται. εἰς ταύτην γὰρ καλῶς εἰποῦσαν οὐδὲν ἔδει πικρὸν ῥηθῆναι. καὶ κρεῖττον ἂν εἴη, εἰ τὸν πικρὸν γράφοιτο· ἀπαιτεῖ γὰρ καὶ τὸ μέτρον Σ (La) • **77** = IX 7.





αἱ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ ».
ὡς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε
νικάσας, οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
ὥτερος, οὕτω καὶ νύμφα δμαθεῖσ' ἀκάχοιτο.
κἠκ τούτω πρᾶτος παρὰ ποιμέσι Δάφνις ἔγεντο,
καὶ νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.

**86** μιτύλαν La Va, μιτάλαν K • **87** κεφαλῆς K | ἀεὶ Codd (αἰεὶ A) | πληροῖ K Va, πλαροῖ La • **89** νικήσας Codd, νικάσας ex deteriore quodam Ahr | ματέρα La Va, ματέρι K • **91** γαμεθεῖσ' Codd, δμαθεῖσ' Ahr • **92** κἠκ K Va, κἀκ La | τούτου Codd (τούτω L cum Mo) | πρᾶτος π. π. Δάφνις K La, Δάφνις π. π. πρῶτος Va.

Testim: **86** οἱ μὲν χρώματος εἶδος τὴν μυτάλην, οἱ δὲ ὄνομα ἤκουσαν, οἱ δὲ τελευταίαν Σ (K) coll. Callim. fr. 498 Schn., et μιτύλαν αἶγά φησι τὴν μὴ ἔχουσαν κέρατα Σ (La Va), cf. Hesych. μύτιλον et μίτυλον· ἔσχατον, νήπιον Λακεδαίμονες et Herodian. I 162, 15.

# IX

## [ΘΕΟΚΡΙΤΟΥ]

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ

« Βωκολιάσδεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος,
ᾠδᾶς ἄρχεο Δάφνι, συνεψάσθω δὲ Μενάλκας,
μόσχως βουσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως.
χοὶ μὲν ἁμᾷ βόσκοιντο καὶ ἐν φύλλοισι πλανῷντο
μηδὲν ἀτιμαγελεῦντες· ἐμὶν δὲ τὺ βωκολιάσδευ
ἔμπροθεν, ἄλλωθεν δὲ ποτικρίνοιτο Μενάλκας ».
(Δάφ.) Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,
ἁδὺ δὲ χἀ σῦριγξ χὠ βουκόλος, ἁδὺ δὲ κἠγών.
ἔντι δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς, ἐν δὲ νένασται
λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας

Codd: K, La (= PQW), Va (= ALNU).
Tit: Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας Codd, προλογίζει νομεύς τις ὁ καὶ κριτὴς add. Q.
Avct: Theocrito abiudicaverunt Valck Her ceterique.

**1** βωκολιάσδεο Va QW, -άζεο P, βουκολιάζεο K (et G) • **2** ᾠδᾶς ἄρχεο K Va, πρᾶτος ἄειδε La | Δάφνι συναψάσθω K La (praeter Δάφνι ἐφαψάσθω WV), πρῶτος (πρᾶτος L) ἐφαψάσθω Va (sed ἐφεψάσθω U non aliter ac Planudeus S), συνεψάσθω Gall • **3** βωσὶν La Va • **4** πλανῷντο Va, πλανοῖντο KQ, πλανεῦντο PW • **5** βουκολιάζευ K (et L), βωκ. P, βωκολιάσδευ Cett • **6** ἔμπο(σ)θεν KP Va (praeter A), ἔμπροσθεν AL$^2$ QW, ἒν ποθ' ἒν K$^2$ U$^2$ Lcorr., ἔκ ποθεν Briggsius, ἐκ τόθεν Cholmeleius | ἄλλοθε(ν) δὲ Codd (ἄλλοσθεν δὲ P cum S, ἄλλοθε δ' αὖτις L, ἄλλωθεν δὲ K$^2$) | ποτικρίνοιτο Codd (ὑποκρ. L et M) • **7** ὁ Codd, ἁ S sive Plan • **8** βωκόλος La Va, βουκ. K • **9** ἐντὶ La Va, ἔστι K (et L) • **10** ἁπάσας K Va (et Q$^2$), ἀπ' ἄκρας La, ἀπώσας Mein.

Testim: **2** τὸ δὲ ἑξῆς οὕτως· βουκολιάζεο Δάφνι, συναρξάσθω δὲ Μενάλκας Σ (Va) | cf. Verg. *Ecl.* III 58 *incipe, Damoeta, tu deinde sequere, Menalca* • **7** = VIII 77.





λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
ὅσσον ἐρῶν τὸ πατρὸς μύθων καὶ ματρὸς ἀκούειν.
οὕτως Δάφνις ἄεισεν ἐμίν, οὕτως δὲ Μενάλκας.
(Μεν.) Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
κοίλαις ἐν πέτραισιν· ἔχω δέ τοι, ὅσσ' ἐν ὀνείρῳ
φαίνονται, πολλὰς μὲν ὄις, πολλὰς δὲ χιμαίρας,
ὧν μοι πρὸς κεφαλᾷ καὶ πὰρ ποσὶ κώεα κεῖται.
ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζεῖ, ἐν πυρὶ δ' αὖαι
φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.
Τοῖς μὲν ἐπεπλατάγησα καὶ αὐτίκα δῶρον ἔδωκα,
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτραφεν ἀγρός,
αὐτοφυῆ, τὰν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων,
τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, οὗ κρέας αὐτὸς
σιτήθην πέτραισιν ἐν Ὑκαρίαισι δοκεύσας,
πέντε ταμὼν πέντ' οὖσιν· ὁ δ' ἐγκαναχήσατο κόχλῳ.
Βουκολικαὶ Μοῖσαι μάλα χαίρετε, φαίνετε δ' ᾠδάν,
τὰν τόκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι,
μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσῃ.

**12** τοῦ Codd, τῶ Win, τῷ Gall • **13** ἐρῶν τὸ K Va, ἐρῶντι La (et A corr.) | καὶ K Va W, ἢ PQ • **14** bis οὑτῶς La, οὕτω K Va • **15** κἠγὼ Va (Q), κἠγὼν PW, καὶ ἐγὼ K | ἐνοικέω KPW, ἐνοικῶ Va (et Q) • **17** φαίνονται K Va, -ντι La • **18** κεῖται K La, κεῖνται Va • **23** ἔτρεφεν Codd (ἔτραφεν LMR) • **24** μωμάσατο K, -σαιτο La Va • **26** σιτήθην KNP, -άθην Cett | πέτραισιν KNP, -ησιν Cett (-οισιν LG) | Ἰκαρίαισι Codd, ex recentiore quodam corr. Zieg et Mein • **28** βουκολ. KL, βωκολ. Cett | Μοῖσαι K Va, Μῶσαι La (et N) • **28-29** ᾠδὰν τὰν K Va Q$^2$ (αὐδὰν Q$^1$), ᾠδὰς τὰς La (Q$^3$) • **29** ποκ' Codd, τόκ' Mein | κείνοισι Codd, sed τήνοισι NPQ$^2$ • **30** ὀλοφυγγόνα K, -γδόνα La Va | φύσης Codd, φύσῃ Wil.

Testim: **19** metri causa permulti sunt loci in Theocrito conferendi (vide sis Proleg., p. LIX), tamen voluit ζέει Brun, sed cf. Hom. Φ 362 et Λ 554, μ 75 • **30** Hesych. ὀλοφυγγόνα· φλυκτὶς ἐπὶ τῆς γλώττης.

« Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
ἴρηκες δ' ἴρηξιν, ἐμὶν δ' ἁ Μοῖσα καὶ ᾠδά.
τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος
οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
ἄνθεα· τόσσον ἐμὶν Μοῖσαι φίλαι. οὓς μὲν ὁρεῦντι,
γαθεῦσιν, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκα ».

**32** ἴρηκες Codd (ἴρηξ PG) | δ' ἴρηξιν K Va P, δ' ἴραξιν QW (δ' om. AUQ) | ἐμὶν K Va ($Q^2$), ἁμῖν La | δ' ἁ Codd (δέ ALU, δέ τε $Q^2$) | Μῶσα KNPW, Μοῖσα ALUQ • **35** τόσσον K (et AL), ὅσσον Cett | Μῶσαι Codd (Μοῖσαι A) | οὓς Codd (ὡς A) | μὲν Codd (γὰρ P et G cum Mo et $S^2$ sive Plan) | ὁρεῦντι $K^1$ La, ὁρῆ(ν)τε K corr. Va (-ῶντι NS) • **36** γαθεῦσι(ν) Codd, γαθεῦσαι Brun | τὼς Codd (τοὺς P) | Κίρκα La N, Κίρκη Cett.

---

Testim: **35-36** ad Brunckii γαθεῦσαι cf. Callim. *Aet.* Prol. 37 (= *Epigr.* 21) Μοῦσαι γὰρ ὅσους ἴδον ὄθματι παῖδας μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους et Hor. *Carm.* IV 3, 1 *quem tu Melpomene semel nascentem placido lumine videris, illum non labor etc.*; cf. Verg. *Ecl.* IV 62-63.



# X

## ΘΕΟΚΡΙΤΟΥ
## ΕΡΓΑΤΙΝΑΙ Η ΘΕΡΙΣΤΑΙ

(Μίλ.) Ἐργατίνα Βουκαῖε, τί νῦν ᾠζυρὲ πεπόνθεις;
οὔθ' ἑὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἄγες,
οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ
ὥσπερ ὄις ποίμνας, ἇς τὸν πόδα κάκτος ἔτυψε.
ποῖός τις δείλαν τὺ καὶ ἐκ μέσω ἄματος ἐσσῇ,
ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγεις;
(Βουκ.) Μίλων ὀψαμᾶτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;
(Μίλ.) οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;
(Βουκ.) οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;
(Μίλ.) μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.
(Βουκ.) ἀλλ' ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἑνδεκαταῖος.
(Μίλ.) ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.
(Βουκ.) τοιγὰρ τὰ πρὸ θυρᾶν μοι ἀπὸ σπόρω ἄσκαλα πάντα.

Codd: K, La (= PQW), Va (= ALNU).
Pap: Pa (53-57).
Tit: Ἐργατίναι ἢ θερισταί Codd, personas Μίλων καὶ Βάττος Σ (in argum.), Βουκαῖος pro Βάττος scr. Fritz.

---

**1** ᾠζυρὲ K La, οἰζυρὲ Va • **2** οὔθ' ἑὸν La Va, οὐ τεὸν K (οὔτε τὸν M et R) • **3** πλασίον K | ἀπολείπῃ KQW, ὑπολείπῃ Va P • **5** δείλαν τε Codd (δειλαῖε P), δ. τυ Kcorr. et M | ἐν μέσῳ Codd, ἐκ μέσω $K^1$ (et M) • **7** ἀτεράμνου Va • **9** δὲ omnes fere Codd (om. N, γὰρ $PQ^2$) • **11** μηδέ γε K La (et $L^2$), μηδὲ Va • **14** τοιγάρτοι Codd, sed τοιγὰρ τὰ P non aliter ac S sive Plan.

---

Testim: **1** Δίφιλος δὲ ἐν τῷ πρώτῳ τῶν Νικάνδρου Θηριακῶν κύριον ὄνομα τὸν Βουκαῖον λέγει Σ, cf. 38.

(Μίλ.) τίς δέ τυ τᾶν παίδων λυμαίνεται;
(Βουκ.) ἁ Πολυβώτα,
ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποκίωνι ποταύλει.
(Μίλ.) εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις, πάλαι ὧν ἐπεθύμεις.
μάντις τοι τὰν νύκτα χροΐξεῖται καλαμαία.
(Βουκ.) μωμᾶσθαί μ' ἄρχη τύ· τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως. μὴ δὴ μέγα μυθεῦ.
(Μίλ.) οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾷον,
καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ. ἅδιον οὕτως
ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

(Βουκ.) Μοῖσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
παῖδ'· ὧν γάρ χ' ἅψησθε, θεαί, καλὰ πάντα ποεῖτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
ἰσχνὰν ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.
καὶ τὸ ἴον μέλαν ἐστὶ καὶ ἁ γραπτὰ ὑάκινθος,
ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.
ἁ αἲξ τὰν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
ἁ γέρανος τὤροτρον, ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
αἴθε μοι ἦς ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,

**16** πρὶν Codd, πρὰν S Plan | ἀμώντεσσι Codd, cf. VI 41 | Ἱπποκίωνι K La, -κόωντι Va | ποκ' αὔλει K La, ποταύλει Va $W^1$ • **18** τοι La, om. K Va | χροΐζεται La (-ξεται Q), χροΐζεῖται K, χροΐζῆται Va (-ξῆται A), χροΐξεῖθ' Hemsterhusius | ἁ καλαμαία Codd, ἁ del. Valck • **20** μὴ δὴ K (et M), μηδέ(ν) La Va • **23** ἐργαζῇ KQW, -ξῇ Va P • **24** Μῶσαι Codd (Μοῦσαι P), corr. Gall • **25** γάρ χ' La Va, γὰρ K | ποεῖτε KQW (ποιεῖτε P), ποιῆτε Va • **28** ἐστὶ K Va, ἐντὶ La • **29** πρῶτα KP | λέγονται K Va, λέγοντι La $K^2$ • **30** τὰν K (et S), τὸν La Va • **31** τώροτρον La Va, τἄροτρον K • **32** ἦς ὅσ(σ)α K La, ἦσαν (et Q corr., εἴησαν N) ὅσα Va | ἔχειν ποκὰ KQ, om. NU, ποκα om. AL, ἔχειν om. P, alterae fere ubique lectiones.

---

Testim: **15** δύναται δὲ καὶ αὐτὸς λέγειν ὅλον τὸν στίχον, ἵν' ᾖ· τίς ἄρα σε, ὦ πολυβῶτα, ὦ πλούσιε, συνεκδοχικόν Σ • **16** = VI 41 • **18** ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη καὶ καλεῖται μάντις Σ, cf. Hesych. καλαμαία· εἶδος ἀκρίδος, ἣν καὶ μάντιν καλοῦσι.





χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ,
τὼς αὐλὼς μὲν ἔχοισα καὶ ἢ ῥόδον ἢ μᾶλον τύ,
σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευ·
ἁ φωνὰ δὲ τρύχνος· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

(Μίλ.) ἦ καλὰς ἄμμε ποῶν ἐλελάθει Βοῦκος ἀοιδάς.
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
ὤμοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα.
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λιτυέρσα.

Δάματερ πολύκαρπε πολύσταχυ, τοῦτο τὸ λᾷον
εὔεργόν τ' εἴη καὶ κάρπιμον ὅττι μάλιστα.
σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
εἴπῃ· «σύκινοι ἄνδρες, ἀπώλετο χοὗτος ὁ μισθός».
ἐς βορέαν ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.
σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
ἐκ καλάμας ἄχυρον τελέθει ταμόσδε μάλιστα.
ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,

**33** κ' ἀνεκ. K La, τ' ανεκ. Va • **34** μᾶλ(λ)ον τύ K La, τύγε μᾶλ(λ)ον Va • **36** τευ Codd, τευς D corr. Bon • **37** τρύχνος K La, τρύχνα Va | μὲν Codd (μὰν PG ut S) • **38** ἄμμε La, ἄμμι K Va | ἐλελήθη Codd (-θει QW), ἐλελάθη Ahr | βοῦκος KPW, βῶκος Va (et Q) • **40** ἀλιθίως PQ, ἀληθ. KLW, ἀλαθ. $A^1$ $N^1$ U | ἀνέφυσα KQW, -φυσας Va (et P) • **41** Λιτυέρσα K (et M), Λυτι. La Va • **45** εἴποι Codd (εἴπῃ P) • **46** βορέην Codd, -αν unus recentior • **48** ἀλοιῶντας K La, -τες Va | φεύγειν K La ($UN^2$), φεύγει Va | τὸν K La U, τὸ Cett • **49** τημόσδε Codd, ταμ. Brun • **50** δ' ἀμ. K La, ἀμ. Va.

---

Testim: **34** de duriore extremi versus numero cf. Hom. B 123, Hesiod. *Theog.* 244, etc. • **38** Βοῦκος ὁ Βουκαῖος ὄνομα κύριον· παρὰ δὲ Νικάνδρῳ (*Ther.* 5) ὁ βουκόλος Σ (K), συγκέκοφε δὲ τὸ ὄνομα, τὸν Βουκαῖον Βοῦκον εἰπὼν ὑποκοριστικῶς Σ • **47** Eustath. 630, 29 Δωριεῖς γὰρ κατὰ τὸ καλῶς κτλ. φασὶ καὶ οὑτῶς, οἷον πιαίνεται ὁ στάχυς οὑτῶς (ut est in KDQWV).

καὶ λήγειν εὕδοντος, ἐλινῦσαι δὲ τὸ καῦμα.
εὐκτὸς ὁ τῶ βατράχω, παῖδες, βίος· οὐ μελεδαίνει
τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
κάλλιον ὠπιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν,
μὴπιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

ταῦτα χρὴ μόχθεντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν,
τὸν δὲ τεὸν Βουκαῖε πρέπει λιμηρὸν ἔρωτα
μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρεύοντα.

**53** πιῆν Pa (et LN), πιεῖν Codd | εγχευντα Pa (et SM), ἐκχ. Codd • **55** μήπιτάμῃς Pa Va Stob., μή τι (τοι P) τάμῃς K La | τὰν Pa (et Q), τὴν Codd • **56** μοχθεντας Pa, -εῦντας Codd | ἀείδειν K, -δην Va, -δεν La • **58** μυθίσδεν Pa Codd | μητρὶ K | εὐνὰν Va (et Pa?), εὐνὴν K La | ὀρθρευοίσᾳ Codd (-σῃ KQ, -θευοίσῃ GP), ὀρθρεύοντα Gall.

Testim: **55** Stob. *Flor.* III 16, 10.



# XI

## ΘΕΟΚΡΙΤΟΥ
## ΚΥΚΛΩΨ

Οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδύ
γίνετ' ἐπ' ἀνθρώποις, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.
γινώσκειν δ' οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα
καὶ ταῖς ἐννέα δὴ πεφιλημένον ἔξοχα Μοίσαις.
οὕτω γοῦν ῥάιστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμίν,
ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.
ἤρατο δ' οὐ μάλοις οὐδὲ ῥόδῳ οὐδὲ κικίννοις,
ἀλλ' ὀρθαῖς μανίαις, ἁγεῖτο δὲ πάντα πάρεργα.
πολλάκι ταὶ ὄιες ποτὶ τωὔλίον αὐταὶ ἀπῆνθον
χλωρᾶς ἐκ βοτάνας· ὃ δὲ τὰν Γαλάτειαν ἀείδων
αὐτῶ ἐπ' ἀιόνος κατετάκετο φυκιοέσσας

Codd: K, La (= PQW), Va (= ALNU).
Pap: Py (20–24).
Tit: Κύκλωψ Σ (in argum. c) et adiectis καὶ (ἢ GP) Γαλάτεια Codd.

**1** πεφύκῃ K Va • **2** ἐμὶν K La, ἐμοὶ Va | οὔτ' ἐπίπαστον K La, οὐδ' ἐπίπιστον Va • **4** ἀνθρώποις K (et S), -πους La Va | ἐντὶ La • **6** πεφιλαμένον Codd, corr. Ahr • **7** ἁμῖν K La (V), ἡμῖν Va (W) • **8** ὅκ' K La, ὅτ' Va • **10** οὐδὲ ῥόδοις K La, οὐδ' αὖ ῥόδοις Va, οὐδ' αὖ ῥόδῳ Plan (SHM) • **11** ὀρθαῖς K (et Bon), ὀλοαῖς La Va, tamen vide Σ • **12** ταὶ Codd (ταί τ' W, τέ τ' Q) | ταὔλιον Codd (τωὔλιον AU) • **14** αὐτῶ Codd (-τοῦ K, -τὸς Q[1] W), αὐτεῖ Heinsius.

Testim: **11** γενικῶς ἐπεμάνη αὐτῆς – ἢ ⟨ὀρθαῖς·⟩ τεταμέναις, ἰσχυραῖς Σ (Va), cf. Aelian. *Hist. an.* XI 32.

ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριδος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.
ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ' ἐπὶ πέτρας
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ,
λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός,
μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς;
φοιτῇς δ' αὖθ' οὕτως, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' εὐθὺς ἰοῖσ', ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
ἠράσθην μὲν ἔγωγε τεοῦς, κόρα, ἁνίκα πρᾶτον
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τί πᾳ νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί', οὐδέν.
γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὦς μία μακρά,
εἷς δ' ὀφθαλμὸς ὕπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
ἀλλ' οὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.

**16** Κύπριος ANU | τό οἱ K Va (Q[1]), ἤ οἱ La | πῆξε K • **20** δ' ἀρνὸς Codd, ἀρνὸς Plan (SHM) • **22** ὅκα La • **25** ἔγωγε Codd, -γα Valck | τεοῦς KAUcorr. (τεῶς Q[2] P), τεῦ QWNU (om. L) | πρῶτον Codd (πρᾶτον Q) • **27** ἡγεμόνευον Codd (ἁγεμ. RWV ut M) • **28** πᾳ νῦν K, τὰ νῦν La Va (sed πω νῦν A) • **30** γιγνώσκω K | ὤνεκα K • **31** οὕνεκα Codd | μοι λασία μὲν La Va, μὲν λασία K • **32** θάτερον La • **33** ἔπεστι Codd, ὕπεστι Winsemius • **34** οὗτος K, οὕτως La, ὠὑτὸς Va • **36** ὀπώρᾳ KPV, -ρῃ Cett.

---

Testim: **21** γράφεται σφριγανωτέρα Σ (K), cf. XXXII 4.





συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τίν, τὸ φίλον γλυκύμαλον, ἁμᾷ κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί. τράφω δέ τοι ἕνδεκα νεβρώς
πάσας μαννοφόρως καὶ σκύμνως τέσσαρας ἄρκτων.
ἀλλ' ἀφίκευσο ποθ' ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.
ἐντὶ δάφναι τηνεί, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
ἔστι μέλας κισσός, ἔστ' ἄμπελος ἁ γλυκύκαρπος,
ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.
τίς κα τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν,
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
ὤμοι, ὅτι οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τεῦς ἐφίλησα,
αἰ μὴ τὸ στόμα λῇς, ἔφερον δέ τοι ἢ κρίνα λευκά

**39** γλυκύμαλον Codd (μοι μᾶλον GP) | (κ)ἠμαυτὸν ἀείδων ἁμᾷ Va • **40** τρέφω Codd, τράφω ex recentiore Ahr • **41** ἀμνοφόρως Codd, μαννοφόρως Σ[2] • **42** ἀφίκευσο GP ut Σ (K), ἀφίκευ QW, ἀφίκευ τὺ K Va • **43** ὀρεχθεῖν K et LU[2] Q[2], ἐρεχ. La Va • **44** ἐμὶν K Va, ἁμῖν La • **46** et **47** ἔστι (et ἔστ') ter KP, ἐντὶ (et ἔντ') Cett • **48** προίησι K (W[1]) • **49** κἂν Codd (ἂν P, τὰν Q[1]), κα Brun | ἔχειν θάλασσαν Va • **50** ἐγὼν αὐτὸς K | ἦμεν Codd (εἶναι P), εἶμεν Ahr • **51** ὑπὸ La Va, ἀπὸ K • **52** τεῦς K (Bon), τεῦ La Va • **53** γλυκύτερον Va • **54** ὅτι KP, ὅτ' Cett | μ' ἁ KQW, με Va P • **55** ποτὶ K La, ἐπὶ Va (Q[2]) | τεῦς K (Bon), τεῦ La Va | ἐφίλασα KQW, -ησα Va P.

---

Testim: **41** γράφεται καὶ μαννοφόρους Σ, cf. Calpurn. VI 38, Polluc. V 99 • **42** ἀφίκευσο· οὕτω Συρακούσιοι τὴν σο πλεονάζουσι συλλαβήν, ἧπερ κάθουσο στεφάνουσο Σ (K) | γράφεται ἑξῆς Σ (Va) • **43** γράφεται ἐρεχθεῖν Σ (K), cf. Eustath. 1285, 63.

ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι,
ὥστ' οὔ κά τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
νῦν μὰν ὦ κόριον, νῦν αὐτίκα νεῖν γε μαθεῦμαι,
αἴ κα τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ, τί ποχ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
ἐξένθοις Γαλάτεια καὶ ἐξενθοῖσα λάθοιο,
ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθεῖν,
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.
ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτύνοντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
ὦ Κύκλωψ Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴκ ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα κα πολὺ μᾶλλον ἔχοις νῶν.
τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.

**59** οὐκ ἂν Codd, οὔ κα Wil | ἐδυνάθην La, -ήθην K Va • **60** μὰν KPW, μὲν Va (et Q et $Q^2$, μέν γ' U) | κόριον K La, κόρα Va ($Q^2$) | αὐτόγα K La (periit $Q^1$), τόγε Va ($Q^2$), αὐτίκα Wil | νεῖν Codd (superscr. πλεῖν NS) | γε μαθεῦμαι Codd (μεμαθ. L$Q^2$, γε με θεσεῦμαι W) • **61** αἴκα τις La Va, εἴτε κα K • **62** εἰδῶ KPQ, κεν (ε)ἰδῶ Va W$Q^2$ | ποθ' Codd, ποχ' S | ὔμμιν K Va, ἄμμιν La • **64** ἐγὼν omnes fere Codd (sed ἐγὼ P Q, et νῦν om. $K^1$) | ὧδε Va La (ἐνθάδε P), ἆδε K • **67** αὐτῇ K • **69** ὁρεῦσα K La, ποτορεῦσα Va | λεπτὸν ἐόντα Codd, λεπτύνοντα Mein • **70** φασῶ La Va, φλασῶ K ($Q^2$) • **71** (σ)φύσδην K La, σφύζην Va ($Q^2$), σφύσδειν R • **72** πᾷ Codd (πω P$Q^2$) • **74** ταῖς K La, τοῖς Va | καὶ Codd (κεν S), κα Ahr | ἔχεις Va | νῶν KQ, νοῦν Cett.

---

Testim: **58** cognovit Athen. I 5*a*, tamen 59 ut spurium eiecit Ahr • **60** Etym. Magn. 529, 49 νῦν μὰν ὦ κόριον • **72** cf. II 19.





πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
κιχλίσδοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ἐπακούσω.
δῆλον ὅτι ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἦμεν.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.

**78** κιχλίσδοντι La, -ίζοντι K Va | ἐπακούσω KP$Q^2$AU, ὑπακ. LNQW • **79** ὅτ' Codd, ὅτι Gall | εἶναι Codd, ἦμεν Plan (SHM), εἶμεν Ahr • **81** ἢ εἰ K et *Σ*, ἢ La Va.

---

Testim: **81** ῥᾶον δὲ διῆγεν ἢ εἰ (om. K) χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν *Σ*.